Γ. ΜΠΟΥΚΟΥΒΑΛΑ
ΧΡΗΣΤΟΜΑΘΕΙΑ
1911

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

# ΕΛΛΗΝΙΚΗ

# ΧΡΗΣΤΟΜΑΘΕΙΑ

ΠΡΟΣ ΧΡΗΣΙΝ

**ΤΩΝ ΜΑΘΗΤΩΝ ΤΗΣ Α΄ ΤΑΞΕΩΣ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΣΧΟΛΕΙΩΝ**

ΚΑΙ ΤΗΣ Ε΄ ΤΩΝ ΠΛΗΡΩΝ ΔΗΜΟΤΙΚΩΝ

ΥΠΟ

ΓΕΩΡ. ΜΠΟΥΚΟΥΒΑΛΑ

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
— ΧΑΝΙΩΝ —
Αὔξ. ἀριθ. 65.873
Χρονολ. Εἰσαγ. 30-10-2009
Εἰδικότης Ευρωπ. Κρήτης
Ἀριθ. 379.494.954 / ΜΠΟ
ΚΕΝΤΡΙΚΟΝ ΧΑΡΤΟΠΩΛΕΙΟΝ & ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ ΝΙΚΟΛΑΟΥ Κ. ΠΕΡΑΚΗ ΕΝ ΧΑΝΙΟΙΣ

ΕΝ ΧΑΝΙΟΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΗΣ "ΝΕΑΣ ΕΡΕΥΝΗΣ,,

1911

379.494.954
ΜΠΟ

Πᾶν ἀντίτυπον μὴ φέρον τὴν ὑπογραφὴν τοῦ συγγραφέως καταδιώκεται κατὰ τὸν νόμον.

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

ΔΩΡΕΑ
ΕΚ ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ
ΣΤΕΦΑΝΟΥ Κ. ΑΝΑΓΝΩΣΤΑΚΗ

# ΠΡΟΛΟΓΟΣ

**Τοῖς ἀναγνώσταις.**

Κατὰ τὴν συλλογὴν καὶ ταξινόμησιν τῆς ὕλης, τῆς περιεχομένης ἐν τῇ προκειμένῃ Χρηστομαθείᾳ, ὡρμήθην ἐκ τῆς ἀρχῆς, ὅτι πάντα τὰ τεμάχια δέον νὰ ἔχωσι σκοπὸν τὴν ἠθικὴν διάπλασιν τῶν μαθητῶν. Πρέπει ἐν τῇ ἑρμηνείᾳ ἀνὰ πᾶν βῆμα νὰ παρέχηται εὐκαιρία εἰς τὸν διδάσκαλον νὰ ἐνσταλάζῃ εἰς τὰς ψυχὰς τῶν παίδων ποικίλας ἠθικὰς ἀρχάς, ἄνευ τῶν ὁποίων, ὡς πλειστάκις ἐπανελήφθη, καθίσταται ἐπιβλαβὴς ἡ ἀνάπτυξις τοῦ πνεύματος. Λέγων δ' «ἠθικὰς ἀρχάς» δὲν ἐννοῶ μόνον τὴν ἐν στενῇ σημασίᾳ προαγωγὴν τοῦ ἤθους τοῦ παιδός, ἀλλὰ καὶ τὴν μόρφωσιν χαρακτῆρος δυναμένου νὰ ἀντεπεξέρχηται εἰς τὰς ἑκάστοτε προφαινομένας ἐν τῷ βίῳ ἀνάγκας διὰ τῆς εὐρύνσεως τοῦ κύκλου τῆς ἐμπειρίας τῶν βιοτικῶν πραγμάτων. Ὁμολογῶ δ' ὅτι, εἰς τὸν σκοπὸν τοῦτον ἀποβλέπων, μεγάλως ἐμόχθησα περὶ τὴν ἐκλογὴν καὶ συλλογὴν τῆς προσφόρου ὕλης, ἐπεξελθὼν ἐπίτηδες τὰ πλεῖστα τῶν συγγραμμάτων τῶν τε ἀρχαίων καὶ τῶν μεταγενεστέρων. Διὰ τοῦτο, ὡς θὰ ἴδῃ ὁ ἀναγνώστης, κατὰ πολὺ διαφέρει ἡ ὕλη τῆς παρούσης Χρηστομαθείας τῆς ὕλης πασῶν τῶν ἄλλων Χρηστομαθειῶν. Θὰ παρατηρήσῃ π. χ. πλὴν ἄλλων ὁ ἀναγνώστης ὅτι ἐλαχίστη ὕλη ἐκ τῆς ἀρχαίας μυθολογίας ἐλήφθη, καὶ αὕτη εἰς τὸ ἔσχατον τῆς Χρηστομαθείας μέρος παραρριφθεῖσα. Ἐὰν δὲ μὴ ἐκωλυόμεθα ἐκ τοῦ διατάγματος, τοῦ ἐπιβάλλοντος καὶ τὴν ἀρχαίαν μυθολογίαν ὡς διδακτέαν ἐν τοῖς σχολείοις ὕλην οὐδ' ἴχνος αὐτῆς θὰ ἐφαίνετο ἐν τῇ Χρηστομαθείᾳ. Διότι ἐνῷ ἡ ἀρχαία μυθολογία δύναται νὰ καταστῇ ἐντρύφημα τοῦ ἀνεπτυγμένου πνεύματος, ἐν τῇ ψυχῇ τοῦ παιδός, ἡ ὁποία ἔχει ἀνάγκην νὰ καθοδηγηθῇ εἰς τὸ ἀγαθὸν διὰ τῆς

προβολῆς πράξεων καὶ λόγων γενναίων, ὀλεθρίαν ἐντύπωσιν θὰ καταλίπωσιν αἱ ἐπιβουλαὶ κατὰ τῆς Κασσάνδρας τοῦ Αἴαντος τοῦ Λοκροῦ, αἱ μιαρότητες τῆς Μηδείας, τὸ ἀπεχθὲς τοῦ Θηβαϊκοῦ κύκλου δρᾶμα, κλπ. Ἀντὶ δὲ τῆς ἐπιβλαβοῦς κατ' ἐμὲ ταύτης ὕλης, προεκρίθησαν πολλὰ καὶ ποικίλα ἀποφθέγματα, τεμάχια ἐκ τῆς φυσικῆς ἱστορίας καί μάλιστα πλεῖστα διηγήματα τὸ ἐνδιαφέρον τοῦ παιδὸς διεγείροντα, ἀρετήν τινα ἐξαίροντα καὶ ἀνοήτους ἢ μοχθηρὰς κακίας στηλιτεύοντα.

Πρὸς τούτοις δ' ἐνόμισα ὅτι τὴν ποικιλωτάτην ταύτην ὕλην δὲν ὤφειλον νὰ ῥίψω εἰκῆ καὶ ὡς ἔτυχεν εἰς τὸ βιβλίον, ἀλλὰ νὰ συστηματοποιήσω αὐτήν. Πρὸς τοῦτο λοιπὸν πλὴν τῆς κατὰ κεφάλαια ἀναλόγως τοῦ περιεχομένου διαιρέσεως αὐτῆς μοὶ ἐφάνη ὠφελιμώτερον νὰ κατατάξω τὰ διάφορα μέρη τῶν κεφαλαίων ὑπὸ διαφόρους κατηγορίας. Ἡ κατάταξις αὕτη ἐνέχει τήνδε τὴν ἀρετήν, ὅτι ὁ διδάσκαλος προγινώσκων περίπου ἐκ τῶν διαφόρων ἐπιγραφῶν τοῦ βιβλίου τὴν ἠθικὴν ἀρχήν, περὶ ἥν περιστρέφεται ὁ μῦθος ἢ τὸ ἀπόφθεγμα ἢ τὸ διήγημα, ἔχει πρόχειρον τὴν ἐκλογὴν τοῦ διδακτέου τεμαχίου, προτιμῶν τοῦτο ἢ ἐκεῖνο ἀναλόγως τῆς ἀνάγκης, τῶν διαγνωσθέντων π. χ. ἐλαττωμάτων τῶν μαθητῶν του κλπ. Οἱανδήποτε δηλ. ἀρετὴν καὶ ἄν θέλῃ νὰ ἐξάρῃ, οἱανδήποτε κακίαν νὰ πατάξῃ, ἔχει προχειροτάτην, ἄνευ ἀναδιφήσεως πολλῆς, τὴν ἐκλεκτέαν ὕλην, μὴ ὑποχρεούμενος νὰ διδάξῃ πάντα τὰ ὑπὸ τὴν αὐτὴν κατηγορίαν κατατεταγμένα, ἀλλ' ἑρμηνεύων ἓν ἢ πλείονα ἀναλόγως τῆς ἐντυπώσεως ἣν θέλει νὰ ἐμποιήσῃ εἰς τὰς ψυχὰς τῶν μαθητῶν του.

Αἱ σημειώσεις ἐν Χρηστομαθείᾳ εἶνε κατ' ἐμὲ ἔργον δευτερεῦον, τοῦ συλλογέως ὀφείλοντος κυρίως νὰ ἐπιστήσῃ τὴν προσοχήν του εἰς τὴν κατάλληλον τῆς ὕλης ἐκλογήν.

Αἱ σημειώσεις σκοπὸν ἔχουσι νὰ ὑποβοηθήσωσιν ἐνιαχοῦ τὸν διδάσκαλον εἰς τὴν κατανόησιν τῶν δυσκολωτέρων τοῦ κειμένου μερῶν καὶ οὐδαμῶς τὸν μαθητήν. Οἱ ἀναστραφέντες μετὰ παίδων τῆς Α' τάξεως τοῦ ἑλληνικοῦ σχολείου πείθονται, ὅτι ἡ διανοητικὴ αὐτῶν ἀνάπτυξις εἶναι τοσοῦτον μικρά, ὥστε δὲν ἐπι-

τρέπει χρῆσιν σημειώσεων. Διὰ τοῦτο, εἰς τὸν διδάσκαλον ἀποβλέπων, χρῆσιν ἐποιησάμην τοσούτων μόνων σημειώσεων, ὅσαι ἐπαρκοῦσι πρὸς τὸν προεκτεθέντα σκοπόν, νομίσας ἄσκοπον νὰ καλύψω τὸν τόπον δι᾽ ἀσκόπων, ἀχρήστων ἢ ἐπιδεικτικῶν σημειώσεων.

*Ἐν Ζακύνθῳ τῇ 21 Μαΐου 1897*

*Γ. ΜΠΟΥΚΟΥΒΑΛΑΣ*

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

# ΕΛΛΗΝΙΚΗ ΧΡΗΣΤΟΜΑΘΕΙΑ

## Α΄. ΑΙΣΩΠΕΙΟΙ ΜΥΘΟΙ

### Λαιμαργία.

#### 1. Μυῖαι.

Ἔν τινι ταμιείῳ μέλιτος ἐκχυθέντος μυῖαι προσπτᾶσαι κατήσθιον· διὰ δὲ τὴν γλυκύτητα τοῦ καρποῦ οὐκ ἀφίσταντο. Ἐμπαγέντων δ' αὐτῶν τῶν ποδῶν, ὡς οὐκ ἠδύναντο ἀναπτῆναι, ἀποπνιγόμεναι ἔφασαν· «ἄθλιαι ἡμεῖς, αἳ διὰ βραχεῖαν ἡδονὴν ἀπολλύμεθα.»

#### 2. Κίχλα.

Ἔν τινι μυρσινῶνι κίχλα ἐνέμετο· διὰ δὲ τὴν γλυκύτητα τοῦ καρποῦ οὐκ ἀφίστατο. Ἰξευτὴς δὲ παρατηρησάμενος ἐμφιλοχωροῦσαν ἰξεύσας συνέλαβε· καὶ δὴ μέλλουσα ἀναιρεῖσθαι ἔφη· «δειλαία εἰμί, ἥτις διὰ τροφῆς γλυκύτητα ζωῆς στερίσκομαι.»

### Ἀπάτη.

#### 3. Ὄνος καὶ Λεοντῆ.

Ὄνος δορὰν λέοντος ἐπενδυθεὶς λέων ἐνομίζετο πᾶσι· καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ ποιμνίων. Ὡς δὲ ἀνέμου πνεύσαντος ἡ δορὰ περιῃρέθη καὶ γυμνὸς ὁ ὄνος ἦν, τότε πάντες ἐπιδραμόντες ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον.

---

1. *ταμιείῳ*=ἀποθήκη.—*οὐκ ἀφίσταντο*=δὲν ἀπεμακρύνοντο.—*διὰ βραχεῖαν*=δι' ὀλίγην.

2. *Μυρσινῶνι*: τόπος κατάφυτος ἐκ μυρσινῶν.— *ἐνέμετο*=ἔβοσκε.—*ἰξευτὴς*=κυνηγὸς μὲ ἰξόβεργα.—*ἐμφιλοχωροῦσαν*: ὅτι εὐχαριστεῖτο νὰ μένῃ ἐκεῖ.—*δειλαία*=ἀθλία.

3. *περιῃρέθη*=ἀφῃρέθη.—*ἔπαιον*: ἐκτύπουν,

### 4. Ποιμὴν καὶ Λύκος.

Ἔδοξέ ποτε τῷ λύκῳ τὴν φύσιν τῷ σχήματι μεταλλάξασθαι, ὡς οὕτως ἀφθονίαν ἕξων τροφῆς· καὶ δορὰν οἰὸς περιβεβλημένος μετὰ τῆς ποίμνης ἐνέμετο, τὸν ποιμένα φενακίσας τῷ μηχανήματι. Νυκτὸς δὲ γενομένης συναπεκλείσθη καὶ ὁ θὴρ παρὰ τοῦ ποιμένος τῇ μάνδρᾳ καὶ φραγμὸς τῇ εἰσόδῳ περιετέθη καὶ ἀτεχνῶς ὁ περίβολος κατησφάλιστο. Ὡς δὲ ὁ ποιμὴν ἠράσθη τροφῆς, μαχαίρᾳ τὸν λύκον ἀπέκτεινεν.

## Πλεονεξία.

### 5. Κολοιὸς καὶ Περιστεραί.

Κολοιὸς ἔν τινι περιστερεῶνι περιστερὰς ἰδὼν καλῶς τρεφομένας λευκάνας ἑαυτὸν ἦλθεν, ὡς καὶ αὐτὸς τῆς αὐτῆς διαίτης μεταληψόμενος. Αἱ δέ, μέχρι μὲν ἡσύχαζεν, οἰόμεναι περιστερὰν αὐτὸν εἶναι προσίεντο· ἐπεὶ δέ ποτε ἐκλαθόμενος ἐφθέγξατο, τηνικαῦτα τὴν αὐτοῦ γνοῦσαι φύσιν ἐξήλασαν παίουσαι. Καὶ ὃς ἀποτυχὼν τῆς ἐνταῦθα τροφῆς ἐπανῆκε πρὸς τοὺς κολοιοὺς πάλιν. Κἀκεῖνοι διὰ τὸ χρῶμα αὐτὸν οὐκ ἐπιγνόντες τῆς μεθ᾽ αὐτῶν διαίτης ἀπεῖρξαν, ὥστε δυοῖν ἐπιθυμήσαντα μηδετέρας τυχεῖν.

### 6. Γυνὴ καὶ Ὄρνις.

Γυνή τις χήρα ὄρνιν εἶχε καθ᾽ ἑκάστην ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν. Νομίσασα δὲ ὡς, εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλοι, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν. Ἡ δ᾽ ὄρνις πιμελὴς γενομένη οὐδ᾽ ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

---

4. *τῷ σχήματι*=μὲ τὸ ἔνδυμα. — *ὡς...ἕξων*=νομίζων ὅτι θὰ ἔχῃ.—*οἰὸς*= προβάτου,—*φενακίσας*: ἀπατήσας.— *συναπεκλείσθη*: μετὰ τῆς ποίμνης δηλ.— *ὁ θὴρ*: δηλ. ὁ λύκος.— *ἀτεχνῶς*: καθ᾽ ὁλοκληρίαν.

5. *ὡς...μεταληψόμενος*: ἵνα καὶ αὐτός μετάσχῃ τῆς αὐτῆς διαίτης.—*Αἱ δέ*= περιστεραί.—*μέχρι*: ἐφ᾽ ὅσον - *προσίεντο*: ἐδέχοντο,—*ἐκλαθόμενος*=λησμονήσας — *τηνικαῦτα*=τότε.— *ἐξήλασαν*=ἐξεδίωξαν— *Καὶ ὃς*: καὶ οὗτος.— *ἐπανῆκε*: ἐπανῆλθε.— *ἀπεῖρξαν*=ἀπέκλεισαν.

6. *πιμελὴς*=παχεῖα.

### 7. Ὄρνις χρυσοτόκος.

Ὄρνιθά τις εἶχεν ᾠὰ χρυσᾶ τίκτουσαν· καὶ νομίσας ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι κτείνας εὗρεν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. Ὁ δὲ ἀθρόον πλοῦτον ἐλπίσας εὑρήσειν καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου.

### 8. Κύων κρέας φέρουσα.

Κύων κρέας ἔχουσα ποταμὸν διέβαινε· θεασαμένη δὲ τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος ὑπέλαβεν ἑτέραν κύνα εἶναι μεῖζον κρέας ἔχουσαν· διόπερ ἀφεῖσα τὸ ἴδιον ὥρμησεν ὡς τὸ ἐκείνης ἀφαιρησομένη. Συνέβη δ' αὐτῇ ἀμφοτέρων στερηθῆναι, τοῦ μὲν μὴ ἐφικομένη, διότι μηδὲ ἦν, τοῦ δ', ὅτι ὑπὸ τοῦ ποταμοῦ παρεσύρη.

## Ὁμόνοια.

### 9. Ταῦροι τρεῖς καὶ Λέων.

Ἐνέμοντο τρεῖς μετ' ἀλλήλων βόες. Λέων δὲ τούτους φαγεῖν θέλων διὰ τὴν ὁμόνοιαν ἐδειλία· αἱμύλοις δὲ λόγοις τούτους διαχωρίσας, μεμονωμένους τούτων ἕνα καθ' ἕνα εὑρὼν ἀδεῶς ἤσθιεν.

### 10. Γεωργοῦ παῖδες.

Γεωργοῦ παῖδες ἐστασίαζον· ὁ δ', ὡς πολλὰ παραινῶν οὐκ ἠδύνατο πεῖσαι αὐτοὺς λόγοις μεταβάλλεσθαι, ἔγνω δεῖν πρᾶγμα τοῦτο πρᾶξαι. Καὶ παρήνεσεν αὐτοῖς ῥάβδων δέσμην κομίσαι. Τῶν δὲ τὸ προσταχθὲν ποιησάντων, τὸ μὲν πρῶτον δοὺς αὐτοῖς ἀθρόας τὰς ῥάβδους ἐκέλευσε καταγνύναι· ἐπειδὴ δὲ καὶ περιβιαζόμενοι οὐκ ἠδύναντο, ἐκ δευτέρου λύσας τὴν δέσμην ἀνὰ μίαν αὐτοῖς ῥάβδον ἐδίδου·

---

7. *ἄθροόν*=συμμαζευμένον.

8. *ὑπέλαβεν*=ἐνόμισεν,—*ὡς.... ἀφαιρησομένη* : ἵνα ἀφαιρέσῃ.—*τοῦ μὲν μὴ ἐφικομένη*: διότι τὸ μὲν (τῆς σκιᾶς) δὲν ἔφθασε, δὲν ἐπέτυχε, δὲν ἔλαβε,— *διότι μηδὲ ἦν*: διότι οὐδὲ ὑπῆρχεν· ἦτο δηλ. ἡ σκιά της.—*τοῦ δέ*: δηλ. τὸ ἰδικόν της.

9. *αἱμύλοις*=μὲ γλυκεῖς, μὲ ἀπατηλούς.— *ἀδεῶς*=ἄνευ φόβου.

10. *ἐστασίαζον*=ἐφιλονίκουν, εἶχον διχόνοιαν.—*ἔγνω*=ἔκρινεν.—*καταγνύναι*=νὰ θραύσωσιν,— *περιβιαζόμενοι*=δύναμιν μεγάλην καταβάλλοντες.— *κατακλών-*

τῶν δὲ ῥαδίως κατακλώντων ἔφη· «ἀτὰρ οὖν καὶ ὑμεῖς, ὦ παῖδες, ἐὰν μὲν ὁμοφρονῆτε, ἀχείρωτοι τοῖς ἐχθροῖς ἔσεσθε· ἐὰν δὲ στασιάζητε, εὐάλωτοι.»

## Ἐργασία καὶ Ἀργία.

### 11. Δάμαλις καὶ Βοῦς.

Δάμαλις βοῦν ὁρῶσα ἐργαζόμενον ἐταλάνιζεν αὐτὸν ἐπὶ τῷ κόπῳ. Ἐπειδὴ δὲ ἑορτὴ κατέλαβε, τὸν βοῦν ἀπολύσαντες τὴν δάμαλιν ἐκράτησαν τοῦ σφάξαι. Ἰδὼν δὲ ὁ βοῦς ἐμειδίασε καὶ πρὸς αὐτὴν εἶπεν· «ὦ δάμαλις, διὰ τοῦτο ἤργεις, διότι ἔμελλες ἀρτίως τυθῆναι».

### 12. Τέττιξ καὶ Μύρμηκες.

Χειμῶνος ὥρᾳ τῶν σίτων βραχέντων οἱ μύρμηκες ἔψυχον, τέττιξ δὲ λιμώττων ᾔτει αὐτοὺς τροφήν. Οἱ δὲ μύρμηκες εἶπον αὐτῷ· «διὰ τί τὸ θέρος οὐ συνῆγες τροφήν;» Ὁ δὲ εἶπεν· «οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς.» Οἱ δὲ γελάσαντες εἶπον· «ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ».

### 13. Χελώνη καὶ Λαγωός.

Χελώνη καὶ λαγωὸς περὶ ὀξύτητος ἤριζον· καὶ δὴ προθεσμίαν στήσαντες καὶ τόπον ἀπηλλάγησαν. Ὁ μὲν οὖν λαγωὸς διὰ τὴν φυσικὴν ὠκύτητα ἀμελήσας τοῦ δρόμου, πεσὼν παρὰ τὴν ὁδὸν ἐκοιμᾶτο, ἡ δὲ χελώνη συνειδυῖα ἑαυτῇ τὴν βραδύτητα οὐ διέλιπε τρέχουσα καὶ οὕτω κοιμώμενον τὸν λαγωὸν προσδραμοῦσα εἰς τὸ βραβεῖον τῆς νίκης ἀφίκετο.

---

των=θραυόντων.—ἀτὰρ= δέ, ἀλλά.—ἀχείρωτοι=ἀνυπότακτοι, ἀδούλωτοι.

11. ἐταλάνιζεν=ἐλεεινολόγει.—ἀπολύσαντες : λύσαντες ἀπὸ τοῦ ζυγοῦ.—τοῦ σφάξαι : ἵνα σφάξωσιν.—ἀρτίως τυθῆναι : μετ' ὀλίγον νὰ θυσιασθῇς.

12. ἔψυχον=ἐξήραινον, ἐστέγνωνον.—ᾔτει αὐτοὺς : ἐζήτει παρ' αὐτῶν.—οὐκ ἐσχόλαζον=δὲν ηὐκαίρουν.—ὀρχοῦ=χόρευε.

13. περὶ ὀξύτητος=περὶ ταχύτητος.—προθεσμίαν....ἀπηλλάγησαν=ἀφ' οὗ ὥρισαν προθεσμίαν(ἐντὸς τῆς ὁποίας ὤφειλον νὰ φθάσωσιν εἰς τὸ ὁρισθὲν μέρος) καὶ τόπον, ἀνεχώρησαν.—ὠκύτητα= ταχύτητα.— συνειδυῖα ἑαυτῇ=ἔχουσα συνείδησιν, γνωρίζουσα.—οὐ διέλιπε=δὲν ἔκαμε διάλειμμα.

## 14. Ναυαγός.

Ἀνὴρ πλούσιος Ἀθηναῖος μεθ' ἑτέρων τινῶν ἔπλει. Καὶ δὴ χειμῶνος σφοδροῦ γενομένου καὶ τῆς νεὼς περιτραπείσης οἱ μὲν λοιποὶ πάντες διενήχοντο, ὁ δ' Ἀθηναῖος παρ' ἕκαστα τὴν Ἀθηνᾶν ἐπικαλούμενος μυρία ἐπηγγέλλετο, ἐὰν περισωθῇ. Εἷς δέ τις τῶν συνναυαγηκότων παρανηχόμενος ἔφη πρὸς αὐτόν· «σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει».

## 15. Γεωργὸς καὶ παῖδες αὐτοῦ.

Γεωργός τις μέλλων καταλύειν τὸν βίον καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας προσκαλεσάμενος αὐτοὺς ἔφη· «παῖδες ἐμοί, ἐγὼ μὲν ἤδη τοῦ βίου ὑπέξειμι, ὑμεῖς δ' ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται ζητήσαντες εὑρήσετε πάντα.» Οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν· καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δὲ ἄμπελος καλῶς σκαφεῖσα πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

# Ψεῦδος καὶ Ἀλήθεια.

## 16. Παῖς ψεύστης.

Παιδίον πρόβατα νέμον ὡς λύκον ἐρχόμενον πρὸς διαφθορὰν ὁρῶν ἐπικαλούμενον τοὺς ἀγρότας ἔλεγε· «βοηθεῖτε ὧδε· ἔρχεται λύκος.» Οἱ δὲ ἀγρόται τρέχοντες τοῦτον εὕρισκον μὴ ἀληθεύειν. Τοῦτο δὲ ποιήσαντος πολλάκις εὕρισκον ψευδόμενον. Μετὰ δὲ ταῦτα τοῦ λύκου προσελθόντος καὶ τοῦ παιδὸς βοῶντος· «δεῦτε λύκος» οὐκέτι τις ἐπί-

---

14. *χειμῶνος*=τρικυμίας.—*διενήχοντο*=διεκολύμβων.—*παρ' ἕκαστα:* εἰς τὴν ἐπιδρομὴν ἑκάστου κύματος.—*ἐπηγγέλλετο*=ὑπισχνεῖτο, ἔταζε.—*σὺν Ἀθηνᾷ... κίνει:* διέμεινεν ὡς παροιμία, λεγομένη ἐπὶ ἀνθρώπων, οἵτινες ἀργοὶ μένοντες περιμένουσι τὰ πάντα ἐκ θεοῦ.

15. *καταλύειν τὸν βίον*=νὰ ἀποθάνῃ.— *τοῦ βίου ὑπέξειμι*=θὰ ἐξέλθω ἐκ τοῦ βίου, θὰ ἀποθάνω. Τὸ *ὑπέξειμι* εἶνε μέλλων τοῦ ὑπεξέρχομαι.—*ζητήσαντες*=ἐὰν ζητήσητε.— *Οἱ μέν:* δηλ. οἱ παῖδες.— *κατορωρύχθαι:* ἀπρ. παθ. παρακ. τοῦ ῥήμ. κατορύττεσθαι.— *οὐ περιέτυχον*=δὲν εὗρον.

16. *ὡς....ὁρῶν* = ὡς νὰ ἔβλεπε.— *πρὸς διαφθοράν:* διὰ νὰ ἐξαλοθρεύσῃ,

σι :ευε προσδραμεῖν αὐτῷ καὶ βοηθῆσαι. Ὁ δὲ λύκος εὑρηκὼς ἄδειαν τὶ ἡν ποίμνην πᾶσαν διέφθειρεν εὐκόλως.

## 17. Πίθηκος καὶ Δελφίς.

Ἔθους ὄντος τοῖς πλέουσι μελιταῖα κυνίδια καὶ πιθήκους ἐπάγεσθ αι πρὸς παραμυθίαν τοῦ πλοῦ, πλέων τις εἶχε σὺν ἑαυτῷ καὶ πίθηκο ν. Γενομένων δ' αὐτῶν κατὰ τὸ Σούνιον, τὸ τῆς Ἀττικῆς ἀκρωτή ριον, χειμῶνα σφοδρὸν συνέβη γενέσθαι. Τῆς δὲ νεὼς περιτραπείσης κα ὶ πάντων διακολυμβώντων, ἐνήχετο καὶ ὁ πίθηκος. Δελφὶς δέ τις αὐ τὸν θεασάμενος καὶ ἄνθρωπον εἶναι ὑπολαβὼν ὑπελθὼν ἀνεῖχε διακο μίζων ἐπὶ τὴν χέρσον. Ὡς δὲ κατὰ τὸν Πειραιᾶ ἐγένετο, τὸ τῶν Ἀ θηναίων ἐπίνειον, ἐπυνθάνετο τοῦ πιθήκου εἰ τὸ γένος ἐστὶν Ἀθηναῖος. Τοῦ δὲ εἰπόντος καὶ λαμπρῶν ἐνταῦθα τετυχηκέναι γονέων, ἐπ ανήρετο εἰ καὶ τὸν Πειραιᾶ ἐπίσταται. Ὑπολαβὼν δὲ ὁ πίθηκος πε ρὶ ἀνθρώπου αὐτὸν λέγειν ἔφη καὶ μάλα φίλον εἶναι αὐτῷ καὶ συν ήθη. Καὶ ὁ δελφὶς ἐπὶ τοσούτῳ ψεύδει ἀγανακτήσας βαπτίζων αὐ τὸν ἀπέκτεινεν.

## 18. Ξυλευόμενος καὶ Ἑρμῆς.

Ξυλευόμενός τις παρά τινα ποταμὸν τὸν οἰκεῖον ἀπέβαλε πέλεκυν. Ἀμηχανῶν τοίνυν παρὰ τὴν ὄχθην καθίσας ὠδύρετο. Ἑρμῆς δὲ μα θὼν τὴν αἰτίαν καὶ οἰκτείρας τὸν ἄνθρωπον καταδὺς εἰς τὸν ποταμὸν χρυσοῦν ἀνήνεγκε πέλεκυν καί; εἰ οὗτός ἐστιν ὃν ἀπώλεσεν, ἤρε το. Τοῦ δὲ μὴ τοῦτον εἶναι φαμένου, αὖθις καταβὰς ἀργυροῦν ἀνε κόμισε. Τοῦ δὲ μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον εἰπόντος, ἐκ τρίτου κα ταβὰς ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. Τοῦ δὲ τοῦτον ἀληθῶς εἶναι

---

φάγ η (τὰ πρόβατα).— *βοηθεῖτε ὧδε*: σπεύσατε ἐδῶ.— *οὐκέτι τις*: οὐδεὶς πλέον. —*ἄ δειαν*=ἀφοβίαν, ἀσφάλειαν.

17. *μελιταῖα*: εἶδος κυνὸς μικροσώμου.—*ἐπάγεσθαι:* νὰ παραλαμβάνωσι μεθ' ἑαυτῶν.—*πρὸς παραμυθίαν τοῦ πλοῦ:* διὰ νὰ διασκεδάζωσιν εἰς τὸ ταξεῖδι.—*χειμῶνα*=τρικυμίαν.—*ἐνήχετο*=ἐκολύμβα.—*ἀνεῖχε* : ἐκράτει αὐτὸν ἐπὶ τῶν νώτων του.—*ἐπυνθάνετο* : ἠρώτα.—*ἐπανήρετο* : ἠρώτησε πάλιν (ὁ δελφίν).—*βαπτίζων* =βυθίζων (εἰς τὸ ὕδωρ).

18. *Ξυλευόμενος*=κόπτων τις ξύλα.—*ἀμηχανῶν*=εὑρισκόμενος ἐν ἀπορίᾳ.—*καταδύς:* βυθισθείς.— *ἀνήνεγκε*=ἀνεβίβασεν (ἐκ τοῦ βυθοῦ).—*τὸν οἰκεῖον* : τὸν

τὸν ἀπολωλότα φαμένου, Ἑρμῆς ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην ἅπαντας αὐτῷ ἐδωρήσατο. Ὁ δὲ παραγενόμενος πρὸς τοὺς ἑταίρους τὰ συμβάντα αὐτοῖς διεξελήλυθεν· ὧν εἷς τις ἴσα διαπράξασθαι ἐβουλεύσατο καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα κλαίων ἐκάθητο. Ἐπιφανεὶς οὖν ὁ Ἑρμῆς κἀκείνῳ καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκε καὶ ἤρετο, εἰ ταύτην ἀπεβαλε. Τοῦ δὲ σὺν ἡδονῇ «ναὶ ἀληθῶς ἥδ' ἐστὶ» φήσαντος, μισήσας ὁ Θεὸς τὴν τοσαύτην ἀναίδειαν οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ' οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν.

## Ἀχαριστία καὶ εὐγνωμοσύνη.

### 19. Ἔλαφος καὶ Ἄμπελος.

Ἔλαφος κυνηγοὺς φεύγουσα ὑπ' ἀμπέλῳ ἐκρύβη. Παρελθόντων δ' ὀλίγον ἐκείνων ἡ ἔλαφος τελέως ἤδη λαθεῖν δόξασα τῶν τῆς ἀμπέλου φύλλων ἐσθίειν ἤρξατο. Τούτων δὲ σειομένων οἱ κυνηγοὶ ἐπιστραφέντες καί, ὅπερ ἦν ἀληθές, νομίσαντες τῶν ζῴων ὑπὸ τοῖς φύλλοις τι κρύπτεσθαι, βέλεσιν ἀνεῖλον τὴν ἔλαφον. Ἡ δὲ θνήσκουσα τοιαῦτ' ἔλεγε· «δίκαια πέπονθα· οὐ γὰρ ἔδει τὴν σώσασάν με λυμαίνεσθαι».

### 20. Λέων καὶ Μῦς.

Λέοντος κοιμωμένου μῦς τῷ στόματι ἐπέδραμεν· ὁ δὲ ἐξαναστὰς καὶ συλλαβὼν αὐτὸν ἔμελλε καταφαγεῖν. Ὁ δ' ἐδεήθη αὐτοῦ μὴ φαγεῖν αὐτὸν λέγων, ὅτι σωθεὶς πολλὰς χάριτας αὐτῷ ἀποδώσει· γελάσας δὲ αὐτὸν ἀπέλυσε. Συνέβη οὖν αὐτὸν μετ' οὐ πολὺ τῇ τοῦ μυὸς χάριτι περισωθῆναι. Ἐπειδὴ γὰρ συλληφθεὶς ὑπό τινων κυνηγῶν κάλῳ ἐδέθη ἐπί τινι δένδρῳ, τηνικαῦτα ὁ μῦς ἀκούσας αὐτοῦ στένοντος, ἐλθὼν τὸν κάλων περιέτρωγε καὶ λύσας ἔφη· «σὺ μὲν οὖν

---

ἰδικόν του, ἐκεῖνον δηλ. ὃν ὁ ξυλευόμενος ἀπώλεσεν. — *ἀποδεξάμενος*=ἐπαινέσας, εὐχαριστηθείς.— *διεξελήλυθε*: διηγήθη.

19. *λαθεῖν*: ὅτι διέλαθεν, ὅτι διέφυγε τὴν προσοχήν των.—*ἀνεῖλον*: ἐφόνευσαν. —*λυμαίνεσθαι*=νὰ βλάπτω.

20. *γελάσας* : ὁ λέων.— *αὐτόν* : τὸν μῦν.— *κάλῳ* : μὲ σχοινίον χονδρόν.— *τηνικαῦτα*: τότε.— *κομίσασθαι*=νὰ λάβῃς.

ὅτε μου κατεγέλασας ὡς μὴ προσδοκῶν παρ' ἐμοῦ ἀμοιβὴν κομίσασθαι· νῦν δ' ἴσθι ὅτι ἐστὶ καὶ παρὰ μυσὶ χάρις».

### 21. Μύρμηξ καὶ Περιστερά.

Μύρμηξ διψήσας κατελθὼν εἰς πηγὴν παρασυρεὶς ὑπὸ τοῦ ῥεύματος ἀπεπνίγετο. Περιστερὰ δὲ τοῦτο θεασαμένη κλῶνα δένδρου περιελοῦσα εἰς τὴν πηγὴν ἔρριψεν, ἐφ' οὗ καὶ καθίσας ὁ μύρμηξ διεσώθη. Ἰξευτὴς δέ τις μετὰ τοῦτο τοὺς καλάμους συνθεὶς ἐπὶ τὸ τὴν περιστερὰν συλλαβεῖν ᾔει. Τοῦτο δ' ὁ μύρμηξ ἑορακὼς τὸν τοῦ ἰξευτοῦ πόδα ἔδακεν. Ὁ δὲ ἀλγήσας τούς τε καλάμους ἔρριψε καὶ τὴν περιστερὰν αὐτίκα φυγεῖν ἐποίησεν.

### 22. Ὁδοιπόροι καὶ Πλάτανος.

Ὁδοιπόροι δύο θέρους ὥρᾳ περὶ μεσημβρίαν ὑπὸ καύματος τρυχόμενοι, ὡς ἐθεάσαντο πλάτανον, ὑπὸ ταύτην ἐλθόντες καὶ ἐν τῇ σκιᾷ κατακλιθέντες ἀνεπαύοντο. Ἀναβλέψαντες δὲ πρὸς τὴν πλάτανον ἔλεγον πρὸς ἀλλήλους, ὡς ἀνωφελὲς καὶ ἄκαρπον τοῦτο ἀνθρώποις ἐστὶ τὸ δένδρον. Ἡ δὲ ὑποτυχοῦσα ἔφη· «ὦ ἀχάριστοι, ἔτι τῆς ἐξ ἐμοῦ εὐεργεσίας ἀπολαύοντες ἀχρείαν με καὶ ἄκαρπον ἀποκαλεῖτε;»

## Φρόνησις καὶ Ἀφροσύνη.

### 23. Αἴλουρος καὶ ὄρνιθες.

Αἴλουρος ἀκούσας ὅτι ἔν τινι ἐπαύλει ὄρνιθες νοσοῦσι, σχηματίσας αὑτὸν εἰς ἰατρὸν καὶ τὰ τῆς ἐπιστήμης πρόσφορα ἀναλαβὼν ἐργαλεῖα παρεγένετο καὶ στὰς πρὸς τῆς ἐπαύλεως ἐπυνθάνετο αὐτῶν πῶς ἔχοιεν· αἱ δὲ ὑποτυχοῦσαι «καλῶς», ἔφασαν, «ἐὰν σὺ ἐντεῦθεν ἀπαλλαγῇς».

---

21. *περιελοῦσα*=ἀφαιρέσασα, λόψασα.—*τοὺς καλάμους*: τὰ ἰξόβεργα.—*συνθεὶς*=συναρμόσας, ἑτοιμάσας.—*ἀλγήσας*=πονέσας.

22. *τρυχόμενοι*=ταλαιπωρούμενοι, βασανιζόμενοι.— *ὑποτυχοῦσα*=ἀποκριθεῖσα.— *ἀπολαύοντες*: ἐν ᾧ ἀπολαύετε.— *ἀχρείαν*=ἄχρηστον.

23. *Αἴλουρος*=γάτος.— *ἐπαύλει*: κτῆμα ἐξοχικὸν μετὰ οἰκίας.— *σχηματίσας αὑτὸν εἰς ἰατρὸν*: ἐνδυθεὶς ὡς ἰατρός.— *παρεγένετο*=ἦλθεν (εἰς τὴν ἔπαυλιν).— *ὑποτυχοῦσαι*=ἀποκριθεῖσαι.— *ἀπαλλαγῇς*=ἀναχωρήσῃς.

## 24. Βάτραχοι.

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο· θέρους δὲ ξηρανθείσης τῆς λίμνης ἐκείνην καταλιπόντες ἐπεζήτουν ἑτέραν. Καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἅτερος θατέρῳ φησί· «συγκατέλθωμεν, ὦ οὗτος, εἰς τόδε τὸ φρέαρ.» Ὁ δὲ ὑποβαλὼν εἶπεν· «ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;»

## 25. Γεωργὸς καὶ Κύνες.

Γεωργὸς ὑπὸ χειμῶνος ἐναποληφθεὶς ἐν τῇ ἐπαύλει, ἐπειδὴ οὐκ ἠδύνατο προελθὼν τροφὴν ἑαυτῷ πορίσασθαι, τὸ μὲν πρῶτον τὰ πρόβατα κατέφαγεν· ἐπειδὴ δὲ ὁ χειμὼν ἐπέμενε, καὶ τὰς αἶγας κατέφαγεν· ἐκ τρίτου δὲ ὡς οὐδεμία ἄνεσις ἐγίνετο, καὶ ἐπὶ τοὺς ἀροτῆρας βοῦς ἐχώρησεν. Οἱ δὲ κύνες θεασάμενοι τὰ πραττόμενα ἔφασαν πρὸς ἀλλήλους· «ἀπιτέον ἡμῖν ἐντεῦθεν· ὁ δεσπότης γὰρ εἰ οὐδὲ τῶν συνεργαζομένων βοῶν ἀπέσχετο, ἡμῶν πῶς φείσεται;

# Καλὴ καὶ κακὴ συναναστροφή.

## 26. Ἀνθρακεὺς καὶ Γναφεύς.

Ἀνθρακεὺς ἐπί τινος οἰκίας ἐργαζόμενος καὶ θεασάμενος γναφέα, αὐτῷ παροικισθέντα, προσελθὼν παρεκάλει αὐτόν, ὅπως σύνοικος αὐτῷ γένηται, διεξιών, ὡς οἰκειότεροι ἀλλήλοις ἔσονται καὶ λυσιτελέστεροι μίαν ἔπαυλιν οἰκοῦντες. Καὶ ὁ γναφεὺς ὑποτυχὼν ἔφη πρὸς αὐτόν· «ἀλλ' ἔμοιγε παντελῶς τοῦτό ἐστιν ἀδύνατον· ὃ γὰρ ἐγὼ λευκανῶ, σὺ ἀσβολήσεις.»

---

24. *ὦ οὗτος*: ὦ φίλε.

25. *ἐναποληφθεὶς*=ἀποκλεισθείς. —*ἄνεσις*=χαλάρωσις (τοῦ χειμῶνος), ἐλάττωσις.—*ἐπὶ τοὺς ἀροτῆρας...ἐχώρησε* : ἐπέβαλε χεῖρα καὶ ἐπὶ τῶν ἀροτριώντων βοῶν· ἤρχισε δηλ. καὶ αὐτοὺς να τρώγῃ.—*ἀπιτέον ἡμῖν*=πρέπει νὰ ἀπέλθωμεν.— *πῶς φείσεται*=πῶς θὰ φεισθῇ, πῶς θὰ λυπηθῇ.

26. *Ἀνθρακεὺς*=καρβουνιάρης.—*γναφεὺς*=λευκαντὴς (ἐνδυμάτων).-*παροικισθέντα*: ὅτι κατῴκησε πλησίον του.—*διεξιὼν*=διισχυριζόμενος.-*ὑποτυχὼν*=ὑπολαβών, ἀποκριθείς.·*ἀσβολήσεις*: μέλ. τοῦ ἀσβολάω-ῶ=γεμίζω ἀπὸ ἀσβόλην, καπνιά.

### 27. Ὀρνιθοθήρας καὶ Πελαργός.

Ὀρνιθοθήρας δίκτυα γεράνοις ἀναπετάσας πόρρωθεν ἐθεώρει την ἄγραν. Πελαργοῦ, δὲ σὺν τοῖς γεράνοις ἐπικαθίσαντος, ἐπιδραμὼν μετ' ἐκείνων καὶ αὐτὸν συνέλαβε. Τοῦ δὲ δεομένου μὴ θῦσαι αὐτὸν καὶ λέγοντος ὡς οὐ μόνον ἀβλαβής ἐστι τοῖς ἀνθρώποις, ἀλλὰ καὶ ὠφελιμώτατος, τοὺς γὰρ ὄφεις καὶ τὰ λοιπὰ ἑρπετὰ συλλαμβάνων ἀναιρεῖν, ὁ ὀρνιθοθήρας ἔφη· «ἀλλ' εἰ τὰ μάλιστα οὐ φαῦλος εἶ, διὰ τοῦτο κολάσεως ἄξιος, ὅτι μετὰ πονηρῶν κεκάθικας.»

### 28. Ὄνον ἀγοράζων.

Ὄνον τις ἀγοράζειν μέλλων ἐπὶ δοκιμασίᾳ καὶ πείρᾳ αὐτὸν ἔλαβε· καὶ εἰσαγαγὼν αὐτὸν ἐπὶ τῆς φάτνης μετὰ τῶν ἰδίων αὐτοῦ ὄνων τοῦτον ἔστησεν. Ὁ δὲ καταλιπὼν τοὺς ἄλλους ἐπὶ τῷ ἀργοτάτῳ καὶ ἀδηφάγῳ ἔστη. Δήσας οὖν καὶ ἀπαγαγὼν τῷ ἰδίῳ δεσπότῃ τοῦτον παρέδωκε. Τοῦ δὲ ἐρωτῶντος, εἰ οὕτω ταχεῖαν αὐτοῦ τὴν δοκιμασίαν ἐποιήσατο, ὑποτυχὼν εἶπεν· «ἀλλ' ἔγωγε οὐδὲ ἐπιδέομαι πείρας· οἶδα γὰρ ὅτι τοιοῦτος, ὁποῖον ἐξ ἁπάντων τὸν συνήθη ἐπελέξατο.»

## Τὸ κακὸν τιμωρεῖται.

### 29. Ἀνδροφόνος.

Ἄνθρωπός τις ἀποκτείνας ὑπὸ τῶν αὐτοῦ συγγενῶν ἐδιώκετο. Γενόμενος δὲ κατὰ τὸν Νεῖλον ποταμὸν, λύκου αὐτῷ ἀπαντήσαντος, φοβηθεὶς ἀνέβη ἐπί τι δένδρον τῷ ποταμῷ παρακείμενον κἀκεῖ ἐκρύπτετο. Θεασάμενος δὲ ἐνταῦθα ἔχιν κατ' αὐτοῦ ἐρχόμενον ἑαυτὸν εἰς τὸν ποταμὸν καθῆκεν· ἐν δὲ τούτῳ ὑποδεξάμενος αὐτὸν κροκόδειλος κατέφαγε.

---

27. *ἀναπετάσας* : ἁπλώσας, στήσας.— *ἀναιρεῖν*=ὅτι τὰ φονεύει.

28. *καὶ πείρᾳ* : πρὸς δοκιμήν.— *ἐπὶ τῷ ἀργοτάτῳ καὶ ἀδηφάγῳ*=πλησίον τοῦ ὀκνηροτάτου καὶ ἀκορέστου (φαγᾶ).— *οὐδὲ ἐπιδέομαι πείρας*—οὐδ' ἔχω ἀνάγκην ἄλλης δοκιμῆς.— *ὅτι τοιοῦτος* : δηλ. ἐστί.— *ὁποῖον...ἐπελέξατο*—ὁποῖος εἶνε ἐκεῖνος ὃν ἐκ πάντων ὡς φίλον ἐξέλεξεν.

29. *Γενόμενος*=φθάσας.— *Νεῖλον* : ποταμὸν τῆς Αἰγύπτου. – *ἔχιν*—ἔχιδναν ὀχιά.— *καθῆκεν*=ἔρριψε κάτω.— *κροκόδειλος* : ζῷον τετράπουν ἀμφίβιον καὶ λίαν ἐπικίνδυνον. Ὁ Νεῖλος ἔχει πληθὺν τοιούτων.

## 30. Γυνὴ καὶ Θεράπαινα.

Γυνὴ χήρα φιλεργὸς θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. Αἱ δὲ συνεχῶς τῷ πόνῳ ταλαιπωρούμεναι ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀποκτεῖναι ἀλεκτρυόνα, ὡς ἐκείνου νύκτωρ ἐξανιστάντος τὴν δέσποιναν. Συνέβη δ' αὐταῖς τοῦτο διαπραξαμέναις χαλεπωτέροις περιπεσεῖν τοῖς δεινοῖς. Ἡ γὰρ δεσπότις ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν ἐννυχώτερον ταύτας ἀνίστη.

## 31. Ὄνος ἅλας βαστάζων.

Ὄνος ἅλας βαστάζων ποταμὸν διέβαινεν· ὀλισθήσας δὲ ὡς κατέπεσεν εἰς τὸ ὕδωρ, ἐκτακέντος τοῦ ἁλὸς κουφότερος ἐξανέστη εὐφρανθεὶς δὲ ἐπὶ τούτῳ, ἐπειδὴ ὕστερόν ποτε σπόγγους ἐμπεφορτισμένος ποταμὸν διέβαινεν, ᾠήθη, ἐὰν πάλιν πέσῃ, ἐλαφρότερος διεγερθήσεσθαι· καὶ δὴ ἑκὼν ὠλίσθησε. Συνέβη δ' αὐτῷ, τῶν σπόγγων ἀνασπασάντων τὸ ὕδωρ, μὴ δυναμένῳ ἐξανίστασθαι, ἐνταῦθα ἀποπνιγῆναι.

## 32. Μῦς καὶ Βάτραχος.

Χερσαῖος μῦς κακῇ μοίρᾳ βατράχῳ ἐφιλιώθη. Ὁ δὲ βάτραχος κακῶς βουλευσάμενος τὸν πόδα τοῦ μυὸς τῷ ἑαυτοῦ ποδὶ συνέδησε. Καὶ πρῶτον μὲν ἐπὶ τῆς χώρας ἦλθον σῖτον δειπνήσοντες· ἔπειτα τὸ χεῖλος τῆς λίμνης πλησιάσαντες ὁ μὲν βάτραχος τὸν μῦν εἰς τὸν βυθὸν κατήνεγκεν, αὐτὸς βρυάζων τῷ ὕδατι καὶ τῷ βρεκεκεκέξ, κοάξ, κοάξ, ἀνακράζων. Ὁ δὲ ἄθλιος μῦς τῷ ὕδατι φυσηθεὶς ἐτεθνήκει· ἐπέπλει δὲ τῷ ποδὶ τοῦ βατράχου συνδεδεμένος. Ἰκτῖνος δὲ τοῦτον ἰδὼν τοῖς ὄνυξιν ἥρπασε· βάτραχος δὲ δεσμώτης ἐπηκολούθει δεῖπνον καὶ αὐτὸς ἰκτίνῳ γενησόμενος.

---

30. *πρὸς τὰς...ᾠδάς* : ὅταν ἐλαλουν οἱ ἀλέκτορες.— *ἔγνωσαν*=ἔκριναν· *ὡς ἐκείνου...ἐξανιστάντος*=νομίζουσαι ὅτι ἐκεῖνος ἐξυπνίζει.

31. *ἐκτακέντος*=ἐπειδὴ ἔλυωσε.— *κουφότερος*=ἐλαφρότερος.— *ἀνασπασάντων*=ἐπειδὴ ἐρρόφησαν.

32. *βρυάζων* : εὐφραινόμενος.— *Ἰκτῖνος* : εἶδος ἱέρακος.

### 33. Λέων, Λύκος καὶ Ἀλώπηξ.

Λέων γηράσας ἐνόσει κατακεκλιμένος ἐν ἄντρῳ· παρῆσαν δ' ἐπισκεψόμενα τὸν βασιλέα πλὴν ἀλώπεκος τἆλλα τῶν ζῴων. Ὁ τοίνυν λύκος λαβόμενος εὐκαιρίας κατηγόρει παρὰ τῷ λέοντι τῆς ἀλώπεκος, ἅτε δὴ παρ' οὐδὲν τιθεμένης τὸν πάντων αὐτῶν κρατοῦντα καὶ διὰ ταῦτα μηδ' εἰς ἐπίσκεψιν ἀφιγμένης. Ἐν τοσούτῳ δὲ παρῆν καὶ ἡ ἀλώπηξ καὶ τῶν τελευταίων ἠκροάσατο τοῦ λύκου ῥημάτων. Ὁ μὲν οὖν λέων κατ' αὐτῆς ἐβρυχᾶτο· ἡ δὲ ἀπολογίας καιρὸν αἰτήσασα «καὶ τίς σε» ἔφη «τῶν συνελθόντων τοσοῦτον ὠφέλησεν, ὅσον ἐγὼ πανταχόσε περινοστήσασα καὶ θεραπείαν ὑπὲρ σοῦ παρ' ἰατροῦ ζητήσασα καὶ μαθοῦσα;» Τοῦ δὲ λέοντος εὐθὺς τὴν θεραπείαν εἰπεῖν κελεύσαντος, ἐκείνη φησίν· «εἰ λύκον ζῶντα ἐκδείρας τὴν αὐτοῦ δορὰν θερμὴν ἀμφιέσει». Καὶ τοῦ λύκου αὐτίκα νεκροῦ κειμένου, ἡ ἀλώπηξ γελῶσα εἶπεν οὕτως «οὐ χρὴ τὸν δεσπότην πρὸς δυσμένειαν παρακινεῖν, ἀλλὰ πρὸς εὐμένειαν».

## Κουφόνοια καὶ ὑπερηφάνεια.

### 34. Λύχνος.

Μεθύων λύχνος ἐλαίῳ καὶ φέγγων ἐκαυχᾶτο, ὡς ὑπὲρ ἥλιον πλέον λάμπει. Ἀνέμου δὲ πνοῆς συρισάσης εὐθὺς ἐσβέσθη. Ἐκ δευτέρου δ' ἅπτων τις εἶπεν αὐτῷ· «φαῖνε, λύχνε, καὶ σίγα· τῶν ἀστέρων τὸ φέγγος οὔποτ' ἐκλείπει».

### 35. Κώνωψ καὶ Ταῦρος.

Κώνωψ ἐπιστὰς κέρατι ταύρου καὶ πολὺν χρόνον ἐπικαθίσας, ἐπειδὴ ἀπαλλάττεσθαι ἔμελλεν, ἐπυνθάνετο τοῦ ταύρου, εἰ ἤδη βούλεται αὐτὸν ἀπελθεῖν. Ὁ δὲ ὑποτυχὼν ἔφη· «ἀλλ' οὔτε ὅτε ἦλθες ἔγνων, οὔτε ἐὰν ἀπέλθῃς γνώσομαι».

---

33. *ἅτε παρ' οὐδὲν τιθεμένης τόν* : ὅτι δὲν τον ἐλογάριαζε διόλου, δὲν τον ἐτίμα.— *περινοστήσασα*=περιελθοῦσα.— *ἀμφιέσει*=ἐνδυθῇς.

34. *μεθύων*=πλήρης, γεμᾶτος.— *συρισάσης*=ἐπειδὴ ἔπνευσεν.—*ἅπτων*=ἀνάπτων.—.*φαῖνε*=φέγγε.

35. *ἀπαλλάττεσθαι*=νὰ ἀναχωρήσῃ.— *ἔγνων*=ἐνόησα.

### 36. Κόραξ καὶ Ἀλώπηξ.

Κόραξ κρέας ἁρπάσας ἐπί τινος δένδρου ἐκάθισεν· ἀλώπηξ δὲ θεασαμένη αὐτὸν καὶ βουλομένη τοῦ κρέως περιγενέσθαι, στᾶσα ἐπῄνει αὐτὸν ὡς εὐμεγέθη τε καὶ καλὸν λέγουσα καὶ ὡς πρέπει αὐτῷ μάλιστα τῶν ὀρνέων βασιλεύειν καὶ τοῦτο πάντως ἂν γένοιτο, εἰ φωνὴν εἶχεν. Ὁ δὲ παραστῆσαι αὐτῇ βουλόμενος ὅτι καὶ φωνὴν ἔχει, βαλὼν τὸ κρέας μεγάλως ἐκεκράγει· ἐκείνη δὲ προσδραμοῦσα καὶ τὸ κρέας ἁρπάσασα ἔφη· «ὦ κόραξ, ἔχεις τὰ πάντα· νοῦν μόνον κτῆσαι».

### 37. Ἀετός, Κολοιὸς καὶ Ποιμήν.

Ἀετὸς καταπτὰς ἀπό τινος ὑψηλῆς πέτρας ἄρνα ἥρπασε· κολοιὸς δὲ τοῦτο θεασάμενος διὰ ζῆλον τοῦτον μιμήσασθαι ἤθελε. Καὶ δὴ καθεὶς ἑαυτὸν μετὰ πολλοῦ τοῦ ῥοίζου ἐπὶ κριὸν ἠνέχθη· ἐμπαρέντων δι' αὐτοῦ τῶν ὀνύχων τοῖς μαλλοῖς, ἐξαρθῆναι μὴ δυνάμενος ἐπτερύσσετο, ἕως ὁ ποιμὴν τὸ γεγονὸς αἰσθόμενος προσδραμὼν συνέλαβεν αὐτόν. Καὶ περικόψας αὐτοῦ τὰ ὠκύπτερα, ὡς ἑσπέρα κατέλαβε, τοῖς αὑτοῦ παισὶν ἐκόμισε. Τῶν δὲ πυνθανομένων τί ἂν εἴη τὸ ὄρνεον, ἔφη· «ὡς μὲν ἐγὼ σαφῶς οἶδα, κολοιός, ὡς δὲ αὐτὸς βούλεται, ἀετός».

## Φθόνος.

### 38. Πίθηκος καὶ Κάμηλος.

Ἐν συνόδῳ τῶν ἀλόγων ζώων πίθηκος ἀναστὰς ὠρχεῖτο. Σφόδρα δὲ αὐτοῦ εὐδοκιμοῦντος καὶ ὑπὸ πάντων ἐπισημαινομένου, κάμηλος φθονήσασα ἠβουλήθη τῶν αὐτῶν ἐφικέσθαι. Διόπερ ἐξαναστᾶσα ἐπειρᾶτο ὀρχεῖσθαι· πολλὰ δὲ αὐτῆς ἄτοπα ποιησάσης, τὰ ζῷα ἀγανακτήσαντα ῥοπάλοις αὐτὴν παίοντα ἐξήλασαν.

---

36. *περιγενέσθαι*=νὰ γίνῃ κυρία.— *καλὸν*=ὡραῖον. *πρέπει*=ἁρμόζει, ταιριάζει.— *τοῦτο*: δηλ. τὸ νὰ βασιλεύῃ.— *βαλὼν*=ῥίψας.

37. *καθείς*: μετ. ἀορ. τοῦ ρ. καθίημι.=ῥίψας κάτω.— *ῥοίζου*=θορύβου.- *ἠνέχθη*: ἀορ. παθ. τοῦ *φέρομαι*=μεθ' ὁρμῆς ἦλθεν.—*ἐμπαρέντων*. μετ. παθ. β'. ἀορ. τοῦ ρ. ἐμπείρομαι=ἐπειδὴ ἐπέρασαν (οἱ ὄνυχες), ἐνεπλάκησαν.— *ἐξαρθῆναι*— νὰ ὑψωθῇ, νὰ πετάξῃ.— *ἐπτερύσσετο*= ἐκτύπει τὰς πτέρυγάς του.

38. *ἐν συνόδῳ*=εἰς συνάθροισιν.—*ἐπισημαινομένου*: ἐπειδὴ μὲ σημεῖα ἐπεδοκιμάζετο, ἐπῃνεῖτο.—*ἐφικέσθαι*: νὰ τύχῃ.— *ἐξήλασαν*=ἐξεδίωξαν.

# Β΄. ΓΝΩΜΑΙ ΚΑΙ ΑΠΟΦΘΕΓΜΑΤΑ

## 1ον. **Περὶ Ἀρετῆς καὶ Κακίας.**

1. Τῆς ἀρετῆς οὐδὲν κτῆμα σεμνότερον οὐδὲ βεβαιότερόν ἐστιν.

2. Οὔτε συμπόσιον χωρὶς ὁμιλίας, οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει.

3. Οὔτε ἵππος εὐγενὴς κρίνοιτ' ἂν ὁ πολυτελῆ σκευὴν ἔχων, ἀλλ' ὁ τῇ φύσει λαμπρός, οὔτε ἀνὴρ σπουδαῖος ὁ πολύτιμον οὐσίαν κεκτημένος, ἀλλ' ὁ τὴν ψυχὴν γενναῖος.

4. Θεμιστοκλῆς πυνθανομένου τινός, πῶς ἂν ἑαυτοῦ διδάσκαλος γένοιτο, «εἰ, ὑπὲρ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις», ἔφη, «καὶ ἑαυτῷ ἐπιτιμῴη μάλιστα».

5. Ὁ αὐτὸς τῶν τὴν θυγατέρα μνωμένων αὐτοῦ τὸν ἐπιεικῆ τοῦ πλουσίου προτιμήσας ἄνδρα, ἔφη, ζητεῖν χρημάτων δεόμενον μᾶλλον, ἢ χρήματα ἀνδρός.

6. Δαρεῖος ῥοιὰν μεγάλην ἀνοίξας, πυθομένου τινός, τί ἂν ἔχειν βούλοιτο τοσοῦτον ὅσον ἐστὶ τῶν κόκκων τὸ πλῆθος, εἶπε «Ζωπύρους»· ἦν δὲ ἀνὴρ ἀγαθὸς καὶ φίλος ὁ Ζώπυρος.

7. Περικλῆς μέλλων ἀποθνήσκειν αὐτὸς ἑαυτὸν ἐμακάριζεν, ὅτι μηδεὶς Ἀθηναίων μέλαν ἱμάτιον δι' αὐτὸν ἐνεδύσατο.

8. Ἀλεξάνδρου τοῦ βασιλέως ἑκατὸν τάλαντα δωρεὰν Φωκίωνι πέμψαντος, ἠρώτησε τοὺς κομίζοντας, τί δή, πολλῶν ὄντων Ἀθηναίων, αὐτῷ μόνῳ ταῦτα δίδωσιν Ἀλέξανδρος. Εἰπόντων δὲ ἐκείνων ὡς μόνον ἡγεῖται καλὸν κἀγαθὸν εἶναι, «οὐκοῦν», ἔφη, «ἐασάτω με καὶ δοκεῖν καὶ εἶναι τοιοῦτον».

---

1. *Βεβαιότερον*: ἀσφαλέστερον, σταθερώτερον.—4. *πυνθανομένου τινός*: ἐρωτῶντός τινος.—5. *μνωμένων*=ζητούντων εἰς γάμον.—*τὸν ἐπιεικῆ*: τὸν χρηστόν.—*ἢ χρήματα ἀνδρός*: ἢ χρ. δεόμενα ἀνδρός—6. *Ζωπύρους*: ὅρ. σελ. 61.—8. *ἠρώτησε*: Φωκίων.—*κομίζοντας*: τὸ χρυσίον.—*ἐασάτω με*: ἄς μὲ ἀφήσῃ.—καὶ δοκεῖν: καὶ

9. Σωκρατικὸς ὁ φιλόσοφος ἀκούσας πονηροῦ τὸν τρόπον κακῶς λέγοντος Πλάτωνα, «παῦσαι», ἔφη· «οὔτε γὰρ κακῶς λέγων ἐκεῖνον πιστευθήσει, οὔτε ἐκεῖνος ἐπαινῶν σε».

10. Θεόκριτος ἐρωτηθείς, ποῖα τῶν θηρίων ἐστὶ τὰ χαλεπώτατα, εἶπεν «ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσι συκοφάνται».

## 2ον. **Περὶ φρονήσεως, ἀφροσύνης, καὶ παιδείας.**

11. Ἰσχὺς καὶ τεῖχος καὶ ὅπλον σοφοῦ ἡ φρόνησις.

12. Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται.

13. Περίανδρος ἐρωτηθείς, τί μέγιστον ἐν ἐλαχίστῳ, εἶπε «φρένες ἀγαθαὶ ἐν σώματι ἀνθρώπου».

14. Σωκράτης ὁ φιλόσοφος, πολλὰ τῶν φίλων αὐτῷ πεμπόντων, ἐπειδὴ, μηδὲν δεχόμενος, ἐπὶ τούτῳ παρὰ τῆς Ξανθίππης ἐπετιμᾶτο, ἔφη «ἂν τὰ διδόμενα πάντα ἑτοίμως λαμβάνομεν, οὐδ' αἰτοῦντες τοὺς διδόντας ἕξομεν».

15. Ἔφη τις τὸν Διογένην ἀνόητον εἶναι· ὁ δὲ «ἀνόητος μὲν οὐκ εἰμι», ἔφη, «τὸν δὲ αὐτὸν ὑμῖν νοῦν οὐκ ἔχω».

16. Οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι πλανῶνται.

17. Ὁ δὶς ἐν τοῖς αὐτοῖς πράγμασιν ἁμαρτάνων ἄφρων ἂν δικαίως νομισθείη.

18. Σωκράτης ἰδὼν πλούσιον μειράκιον ἀπαίδευτον «Ἰδού», ἔφη, «χρυσοῦν ἀνδράποδον».

19. Κλεάνθης ἔφη τοὺς ἀπαιδεύτους μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν.

## 3ον. **Περὶ σωφροσύνης.**

20. Ζημίαν αἱροῦ μᾶλλον ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ ἅπαξ σε λυπήσει, τὸ δὲ διὰ παντός.

---

νὰ νομίζωμαι.—9. *πονηροῦ τὸν τρόπον*: ἄνθρωπον κακοῦ χαρακτῆρος.—*κακῶς λέγοντος*: κατηγοροῦντος.—*κακῶς λέγων*: ἐὰν κατηγορῇς.—*ἐκεῖνος*: πιστευθήσεται, θὰ γίνῃ πιστευτός.—14. *ἑτοίμως*: προθύμως, εὐχερῶς.—*Ξανθίππης*: τῆς γυναικός του.—*οὐδ' αἰτοῦντες*: οὐδ' ἐὰν ζητῶμεν.—15. *τὸν αὐτὸν ὑμῖν*: ὅμοιον μὲ τὸν ἰδικόν σας.—19. *τῶν θηρίων*· τῶν ζῴων.—20. *τὸ μέν*: ἡ ζημία.

21. Σωκράτης ἐρωτηθείς, τίνων δεῖ μάλιστα ἀπέχεσθαι, «Τῶν αἰσχρῶν καὶ ἀδίκων», ἔφη, «ἡδονῶν».

22. Ἡ Φωκίωνος γυνὴ πρὸς τὴν ἐπιδεικνυμένην αὐτῇ τὸν κόσμον χρυσοῦν ὄντα καὶ διάλιθον «Ἐμοὶ δ'», ἔφη, «κόσμος ὑπέρλαμπρός ἐστι Φωκίων πένης ὢν καὶ εἰκοστὸν ἤδη τοῦτο ἔτος Ἀθηναίων στρατηγῶν».

23. Ταῖς Λυσάνδρου θυγατράσιν ὁ τύραννος ὁ Σικελικὸς ἱμάτια καὶ πλόκια τῶν πολυτελῶν ἔπεμψεν· ὁ δὲ Λύσανδρος οὐκ ἔλαβεν εἰπών· «ταῦτα τὰ κόσμια καταισχυνεῖ μου μᾶλλον ἢ κοσμήσει τὰς θυγατέρας· κόσμος γὰρ γυναικὸς τὸ τὴν γυναῖκα κοσμιωτέραν ποιοῦν, ποιεῖ δὲ ταύτην οὐ χρυσὸς οὔτε σμάραγδος οὔτε κόκκος, ἀλλ' ὅσα σεμνότητος, εὐταξίας, αἰδοῦς ἔμφασιν περιτίθησιν.»

## 4ον. **Περὶ ἀνδρείας.**

24. Οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν.

25. Πλάτων ἔφη τοὺς ἀγαθοὺς ἄνδρας βίου μὴ μακροῦ, ἀλλὰ λαμπροῦ δεῖσθαι.

26. Ἆγις ὁ βασιλεὺς οὐκ ἔφη τοὺς Λακεδαιμονίους ἐρωτᾶν πόσοι εἰσίν, ἀλλὰ ποῦ εἰσιν οἱ πολέμιοι.

27. Λεωνίδας ἀκούσας ἐπισκιάζεσθαι τὸν ἥλιον τοῖς Περσῶν τοξεύμασι «χαρίεν», ἔφη, «ὅτι καὶ ὑπὸ σκιᾷ μαχούμεθα».

28. Πύρρου ἐπιστρατεύσαντος τοῖς Λακεδαιμονίοις καὶ πολλὰ ἀπειλοῦντος, Δερκυλλίδας, εἷς τῶν γερόντων, ἀναστὰς ἐν τῇ ἐκκλησίᾳ εἶπεν· «Εἰ μὲν θεός ἐστιν ὁ ἀπειλῶν, μὴ φοβώμεθα· οὐδὲν γὰρ ἀδικοῦμεν· εἰ δ' ἄνθρωπος, γνώτω ἀνδράσιν ἀπειλῶν».

29. Ἀγησίλαος ἐρομένου τινός, διὰ τί ἀτείχιστος ἡ Σπάρτη, ἐπιδείξας τοὺς πολίτας ἐξωπλισμένους «ταῦτά ἐστιν», εἶπε, «τὰ Λακεδαιμονίων τείχη καὶ οὐ δεῖν λίθοις καὶ ξύλοις τετειχίσθαι τὰς πόλεις, ἀλλὰ ταῖς τῶν ἐνοικούντων ἀρεταῖς».

---

22. *πρὸς τὴν ἐπιδεικνυμένην*: πρὸς τὴν γυναῖκα, ἥτις ἐπεδείκνυε.—*διάλιθον*: πλήρη πολυτίμων λίθων.— 23. *πλόκια*: περιδέραια.—*κόσμια*=στολίδια.—*καταισχυνεῖν*: θὰ ἀσχημίσουν.—*σεμνότητος....περιτίθησι*: ὅσα ἐμφαίνουσιν, ἐμφανίζουσι τὴν γυναῖκα ὡς σεμνήν, εὔτακτον, αἰδήμονα.

## 5ον. **Περὶ δικαιοσύνης καὶ ἀδικίας.**

30. Ζηλωτὸν ἴσως ὁ πλοῦτος· τίμιον μέντοι καὶ θαυμαστὸν ἡ δικαιοσύνη.

31. Πλοῦτος ἀπὸ κακῆς ἐργασίας περιγενόμενος ἐπιφανέστερον τὸ ὄνειδος κέκτηται.

32. Ὁ Πυθαγόρας παρήγγελλε πρὸς τοὺς θεοὺς προσιέναι τοὺς θύοντας μὴ πολυτελεῖς ἀλλὰ λαμπρὰς καὶ καθαρὰς ἔχοντας ἐσθῆτας, ὁμοίως δὲ μὴ μόνον τὸ σῶμα καθαρὸν παρεχομένους πάσης ἀδίκου πράξεως, ἀλλὰ καὶ τὴν ψυχὴν ἁγνεύουσαν.

## 6ον. **Περὶ ἀληθείας καὶ ψεύδους.**

33. Ψεύδεσθαι ἀνελεύθερον, ἀλήθεια γενναῖον.

34. Πυθαγόρας ἐρωτηθείς, τί ποιοῦσιν ἄνθρωποι θεοῖς ὅμοιον, ἔφη, «ἐὰν ἀληθεύωσιν.»

35. Ὁ αὐτὸς παρήγγελλε τοῖς μαθηταῖς σπανίως μὲν ὀμνύναι, χρησαμένους δὲ τοῖς ὅρκοις πάντως ἐμμένειν καὶ εἰς τέλος ἄγειν ὑπὲρ ὧν ἄν τις ὀμόσῃ πραγμάτων.

36. Πλάτων μὲν ἥδιστον εἶναι τῶν ἀκουσμάτων τὴν ἀλήθειαν ἔλεγε· Πολέμων δὲ πολὺ ἥδιον τοῦ ἀκούειν τὸ λέγειν εἶναι τἀληθῆ.

37. Ἐπαίνετος πάντων ἔφη τοὺς ψεύστας τῶν ἁμαρτημάτων καὶ τῶν ἀδικημάτων αἰτίους εἶναι.

38. Δημήτριος ἐρωτηθείς, τί φαῦλον τοῖς ψευδομένοις παρακολουθεῖ, εἶπε· «τὸ μηδ' ἄν τἀληθῆ λέγωσιν ἔτι πιστεύεσθαι.»

39. Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Χῖος, γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζών, ᾐδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ καὶ τὴν τρίχα πολιὰν οὖσαν ἐπει-

---

30. *τίμιον* τιμῆς ἄξιον.— 31. *ἐπιφανέστερον:* φανερώτερον.— 32. *προσιέναι τοὺς θ.*=νὰ προσέρχωνται εἰς τὰ ἀγάλματα τῶν θεῶν οἱ μέλλοντες νὰ θυσιάσουν.— 33. *ἀνελεύθερον*=ἐστί. εἰς τοὺς ἐλευθέρους ἀνάρμοστον.— 35. *χρ. δὲ τοῖς ὅρκοις* : ἐὰν ὅμως ὁρκισθῶσιν.—*εἰς τέλος ἄγειν ὑπὲρ ὧν*...καὶ νὰ ἐκτελῶσιν ἐκεῖνα ὑπὲρ τῶν ὁποίων.-36.*πολὺ ἥδιον*..:πολὺ εὐχαριστότερον εἶνε τὸ νὰ λέγῃ τις τὴν ἀλήθειαν ἢ νὰ ἀκούῃ.--38 *ἔτι πιστεύεσθαι:* νὰ εἶνε πλέον πιστευτοί.-39.*ἀλαζών:* ὁ μεγεθύνων τὰ ἑαυτοῦ, ὁ νομίζων ὅτι ἔχει πράγματα, τὰ ὁποῖα δὲν ἔχει.—*ᾐδεῖτο ἐπὶ τῷ γήρᾳ:* ἐντρέπετο διότι ἦτο γέρων.—*τὴν τρίχα*=τὴν κόμην.--*βαφῇ*

ρᾶτο βαφῇ ἀφανίζειν. Παρελθὼν οὖν εἶπεν ἐκεῖνα, ὑπὲρ ὧν καὶ ἀφίκετο. Ἀναστὰς οὖν Ἀρχίδαμος, ὁ τῶν Λακεδαιμονίων βασιλεύς, «τί δ' ἂν» ἔφη, «οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρῃ;»

### 7ον. **Περὶ κολακείας.**

40. Μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας· ἀμφότεροι γὰρ πιστευθέντες τοὺς πιστεύοντας ἀδικοῦσιν.

41. Ἀντισθένης αἱρετώτερόν φησιν εἰς κόρακας ἐμπεσεῖν ἢ εἰς κόλακας· οἱ μὲν γὰρ ἀποθανόντας τὸ σῶμα, οἱ δὲ ζῶντας τὴν ψυχὴν λυμαίνονται.

### 8ον. **Περὶ ἐγκρατείας καὶ ἀκρασίας.**

42. Βρωμάτων καὶ πομάτων τὰ χρήσιμα μᾶλλον ἢ τὰ ἡδέα γιγνώσκειν προσήκει· καὶ μᾶλλον ἔμπειρον εἶναι τῶν εὐστομάχων ἢ τῶν εὐστόμων, καὶ τῶν τὴν πέψιν μὴ ταραττόντων, ἢ τῶν τὴν γεῦσιν σφόδρα γαργαλιζόντων.

43. Πυθαγόρας ἐρωτηθείς, πῶς ἂν οἰνόφλυξ τοῦ μεθύειν παύσαιτο, «εἰ συνεχῶς», ἔφη, «θεωροίη τὰ ὑπ' αὐτοῦ πρασσόμενα»·

44. Ἀνάχαρσις ἐρωτηθείς, πῶς ἄν τις μὴ μεθύσκοιτο, «εἰ», φησίν, «ὁρῴη τοὺς μεθύοντας οἷα ποιοῦσιν».

45. Λεωτυχίδης, πυνθανομένου τινός, διὰ τίνα αἰτίαν ὀλιγοποτοῦσιν οἱ Σπαρτιᾶται, ἔφη «ἵνα μὴ οἱ ἄλλοι ὑπὲρ ἡμῶν βουλεύωνται, ἀλλ' ἡμεῖς ὑπὲρ ἄλλων».

### 9ον. **Περὶ ἀνεξικακίας.**

46. Δεῖ τὴν μὲν πρὸς τοὺς φίλους εὔνοιαν ἀθάνατον φυλάττειν, τὴν δὲ πρὸς τοὺς ἐναντίους ἔχθραν θνητήν.

47. Πιττακὸς ἀδικηθεὶς ὑπό τινος καὶ ἔχων ἐξουσίαν αὐτὸν κο-

---

*ἀφανίζειν*: νὰ καθιστᾷ δηλ. μέλαιναν.—*παρελθών*: παρουσιασθεὶς εἰς τὰς ἀρχὰς τῶν Λακεδαιμονίων.— *ὑγιές*: ἀληθές.— 41. *αἱρετώτερον*: προτιμότερον.-*οἱ μὲν*: κόρακες.-*λυμαίνονται*: καταστρέφουσιν.—42. *βρωμάτων καὶ πομάτων* τῶν φαγητῶν καὶ ποτῶν.—*τῶν εὐστομάχων*: τῶν εὐπέπτων, τὰ εὐχολοχώνευτα.—*τῶν εὐστόμων*: τὰ ἀρέσκοντα εἰς τὴν γεῦσιν.—45. *ὀλιγοποτοῦσι*: πίνουσιν ὀλίγον.—47. *τὸ μέν*: ἡ

λάσαι ἀφῆκεν εἰπών, «συγγνώμη τιμωρίας ἀμείνων· τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι, τὸ δὲ θηριώδους».

### 10ον. **Περὶ ὀργῆς.**

48. Ὁ θυμός ἐστι πάθος θηριῶδες, σκληρὸν καὶ βίαιον, φίλω αἴτιον, συμφορᾶς σύμμαχον, βλάβης συνεργὸν καὶ ἀτιμίας, χρημάτων ἀπώλεια.

49. Μὴ ἐπὶ μικροῖς αὐτὸς ἑαυτὸν ὀξύθυμον δείκνυε.

50. Ὀργὴ πολλοὺς δρᾶν ἀναγκάζει κακά.

51. Ὁ θυμὸς καὶ ἡ ἀσυνεσία, δύο κακὰ τοῖς χρωμένοις, πολλοὺς θνητῶν ἀπώλεσεν.

52. Ὥσπερ θνητὸν τὸ σῶμα ἡμῶν ἔφυ, οὕτω προσήκει τῷ σώφρονι μηδὲ τὴν ὀργὴν ἔχειν ἀθάνατον.

53. Αἱ νοῦν ἔχουσαι γυναῖκες ἐν ταῖς ὀργαῖς τῶν ἀνδρῶν κεκραγότων μὲν ἡσυχάζουσι, σιωπῶντας δὲ προσλαλοῦσαι καὶ παραμυθούμεναι καταπραΰνουσιν.

54. Πλάτων ὀργιζόμενός ποτε τῷ οἰκέτῃ ἐπιστάντος Ξενοκράτους «λαβὼν» ἔφη, «τοῦτον μαστίγωσον· ἐγὼ γὰρ ὀργίζομαι».

### 11ον. **Περὶ ὑπεροψίας καὶ φιλαυτίας.**

55. Οἱ πολλοὶ τῶν ἀνθρώπων τῶν μὲν ἰδίων ἁμαρτημάτων συνήγοροι γίνονται, τῶν δὲ ἀλλοτρίων κατήγοροι.

56. Σωκράτης ἐρωτηθείς, τίνες βάναυσοι, «οἱ τῶν ὁμοίων» ἔφη «καταφρονοῦντες».

### 12ον. **Περιεργία.**

57. Θύραν παριόντες ἀλλοτρίαν ἐθιζώμεθα μὴ βλέπειν εἴσω, μηδὲ τοῦ ἐντὸς ἐπιδράττεσθαι τῇ ὄψει, καθάπερ, χειρί, τῇ περιεργίᾳ, ἀλλὰ τὸ τοῦ Ξενοκράτους ἔχωμεν πρόχειρον, ὃς ἔφη μηδὲν διαφέρειν, ἢ τοὺς πόδας ἢ τοὺς ὀφθαλμοὺς εἰς ἀλλοτρίαν οἰκίαν τιθέναι. Οὔτε γὰρ δίκαιον οὔτε καλόν, ἀλλ' οὔτε ἡδὺ τὸ θέαμα. Τὰ γὰρ πολλὰ τοιαῦτα

---

συγγνώμη—*τὸ δὲ*: ἡ τιμωρία.— 49. *ἐπὶ μικροῖς*: διὰ μικρὰν αἰτίαν.—50. *δρᾶν* τὰ πράττωσιν—51.*τοῖς χρωμένοις*: εἰς τοὺς ἔχοντας αὐτά.—54.*ἐπιστάντος*: ἐπειδὴ ἦλθεν αἴφνης ὁ Ξενοκράτης.—57.- *μηδέ.. τῇ ὄψει*: μηδὲ τὸ ἐσωτερικὸν τῆς οἰκίας τὰ ἁρπάζωμεν διὰ τῆς ὄψεως, ἁρπαχτὰ νὰ βλέπωμεν.- *τοιαῦτα*: εἰσὶ-*σκευάρια*: ἔπι-

τῶν ἐν ταῖς οἰκίαις, σκευάρια κείμενα καὶ θεραπαινίδια καθεζόμενα καὶ σπουδαῖον οὐδὲν οὐδ' ἐπιτερπές. Ἡ δὲ συνδιαστρέφουσα τὴν ψυχὴν παράβλεψις αὕτη αἰσχρὰ καὶ τὸ ἔθος μοχθηρόν.

### 13ον. **Περὶ φιλοπονίας καὶ ἀργίας.**

58. Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο.

59. Τῶν ὄντων καλῶν κἀγαθῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασι τοῖς ἀνθρώποις, ἀλλ' εἴ τε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι τὴν πόλιν ὠφελητέον, εἴ τε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον.

60. Αἱ ἡδοναί εἰσιν ἀπατηλαί τινες δέσποιναι τοῦ ἀνθρώπου καὶ ἀνωφελεῖς; αἵ προϊόντος τοῦ χρόνου καὶ αὐτοῖς τοῖς ἐξαπατηθεῖσι καταφανεῖς γίγνονται, ὅτι λῦπαι ἄρα ἦσαν ἡδοναῖς ὅμοιαι, αἵ διακωλύουσιν αὐτοὺς ἀπὸ τῶν ὠφελίμων ἔργων.

61. Νικίας οὕτως ἦν φιλόπονος, ὥστε πολλάκις ἐρωτᾶν τοὺς οἰκέτας, εἰ λέλουται καὶ εἰ ἠρίστηκεν.

62. Διονύσιος πρὸς τὸν πυθόμενον, εἰ σχολάζοι, «μηδέποτε» εἶπεν «εἰμοὶ τοῦτο συμβαίη».

63. Σωκράτης ἐν γήρᾳ κιθαρίζων παρὰ Κόννῳ τῷ κιθαρῳδῷ ἐτύγχανε καί τινος εἰπόντος «κιθαρίζεις τηλικοῦτος ὤν;» «Κρεῖττον», εἶπεν, ὀψιμαθῆ εἶναι ἢ ἀμαθῆ».

### 14ον. **Περὶ αἰδοῦς.**

64. Προσήκει τῷ νέῳ τρία τινὰ ἔχειν, ἐπὶ μὲν τῆς γνώμης σωφροσύνην, ἐπὶ δὲ τῆς γλώσσης σιγήν, ἐπὶ δὲ τοῦ προσώπου αἰδῶ.

65. Φαῦλον κἂν μόνος ἦς μήτε λέξῃς μήτ' ἐργάσῃ, μάθε δὲ πολὺ μᾶλλον τῶν ἄλλων σεαυτὸν αἰσχύνεσθαι.

---

πλα κ.λ.—*ἐπιτερπές*: τερπνόν, εὐχάριστον.—*παράβλεψις*: τὸ πλάγιον κύταγμα.—59. *ἵλεως*: εὐμενεῖ.-*θεραπευτέον*: ὀφείλεις νὰ λατρεύῃς. 61. *ἠρίστηκεν*: ἔχει λάβει τὸ ἄριστον, τὸ πρόγευμα.-63. *καί τινος εἰπόντος*: καὶ ἐπειδὴ εἶπέ τις.-*τηλικοῦτος*: ὁ ἔχων ταύτην ἢ ἐκείνην τὴν ἡλικίαν· ἐνταῦθα προβεβηκυῖαν.-*ὀψιμαθής*: ὁ ἀργά

66. Κάτων ἔλεγε χαίρειν τῶν νέων τοῖς ἐρυθριῶσι μᾶλλον ἢ τοῖς ὠχριῶσιν.

### 15ον. **Περὶ σιωπῆς καὶ ἀδολεσχίας.**

67. Ὦ, παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά.

68. Κρεῖττον σιωπᾶν ἐστιν ἢ λαλεῖν μάτην.

69. Σιμωνίδης ἔλεγε μηδέποτε αὐτῷ μεταμελῆσαι σιγήσαντι, φθεγξαμένῳ δὲ πολλάκις.

70. Ζήνων πρὸς τὸν πλείω λαλεῖν θέλοντα ἢ ἀκούειν «Νεανίσκε» εἶπεν «ἡ φύσις ἡμῶν γλῶτταν μὲν μίαν, δύο δὲ ὦτα παρέσχεν, ἵνα διπλασίονα ὧν λέγομεν ἀκούωμεν.

71. Ἰσοκράτης ὁ ῥήτωρ, Καρεῶνος ὄντος λάλου καὶ σχολάζειν αὐτῷ βουλομένου, διττοὺς ᾔτησε μισθούς. Τοῦ δὲ τὴν αἰτίαν πυθομένου, «ἕνα», ἔφη, «μέν, ἵνα λαλεῖν μάθῃς, τὸν δ' ἕτερον, ἵνα σιγᾶν.»

### 16ον. **Περὶ φθόνου.**

72. Μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός.

73. Ἀδικώτατον πρᾶγμ' ἐστὶ τῶν πάντων φθόνος.

74. Σωκράτης τὸν φθόνον εἶπεν ἕλκος εἶναι τῆς ψυχῆς.

75. Τοσούτῳ εἰσὶν οἱ φθονεροὶ δυστυχέστεροι τῶν ἄλλων, ὅσον οἱ μὲν ἐπὶ ταῖς αὑτῶν συμφοραῖς ἀλγοῦσιν, οἱ δὲ φθονοῦντες πρὸς τοῖς ἑαυτῶν κακοῖς καὶ ἐπὶ τοῖς τῶν ἄλλων ἀγαθοῖς λυπούμενοι διατελοῦσιν.

76. Βίων ὁ σοφιστὴς ἰδών τινα φθονερὸν κεκυφότα εἶπεν· «ἢ τούτῳ μέγα κακὸν συμβέβηκεν, ἢ ἄλλῳ μέγα ἀγαθόν.»

### 17ον. **Περὶ πατρίδος.**

77. Μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τιμιώτερον πατρίς ἐστι καὶ σεμνότερον καὶ ἁγιώτερον.

78. Λάκων αἰχμαλωτισθεὶς καὶ πιπρασκόμενος, τοῦ κήρυκος λέγοντος «Λάκωνα πωλῶ,» ἐπεστόμισεν εἰπὼν «αἰχμάλωτον κήρυσσε».

---

εἰς περασμένην ἡλικίαν μανθάνων.—66. *χαίρειν...τοῖς*: ὅτι εὐχαριστεῖται, ἀρέσκεται εἰς....—68. *μάτην*: ἀσκόπως, ἄνευ λόγου.—69. *σιγήσαντι*: διότι ἐσιώπησε· 71. *σχολάζειν*: νά μαθητεύσῃ.—*διττοὺς μισθούς*: διπλῆν ἀμοιβήν.—*τοῦ δὲ*: Καρεῶνος.—75. *οἱ μὲν*: ἄλλοι.—78 *ἐπεστόμισε*: τοῦ ἔκλεισε τὸ στόμα.

79. Λάκαινα προϊόντι τῷ υἱῷ ἐπὶ πόλεμον ἀναδιδοῦσα τὴν ἀσπίδα καὶ παρακελευομένη «τέκνον», ἔφη, «ἢ τάν, ἢ ἐπὶ τᾶς».

80. Φωκίων μέλλων ἀποθνήσκειν ἐρωτηθείς, εἴ τι λέγει πρὸς τὸν υἱόν, «ἐγώ σε» εἶπεν ἐντέλλομαι καὶ παρακαλῶ μηδὲν Ἀθηναίους μνησικακεῖν»·

81. Ἀριστείδης ἐξοστρακισθεὶς ὑπ' Ἀθηναίων τῆς πόλεως ἤδη ἀπαλλαττόμενος τὰς χεῖ ας ἀνατείνας πρὸς τὸν οὐρανὸν ηὔξατο μηδένα καιρὸν Ἀθηναίους καταλαβεῖν, ὅς ἀναγκάσει τὸν δῆμον Ἀριστείδου μνησθῆναι.

82. Ὁ αὐτὸς δ' ἐρωτώμενος, τί μάλιστα αὐτὸν ἐν τῇ φυγῇ ἐλύπει· «τὸ τῆς πατρίδος ὄνειδος», ἔφη, «κακῶς ἀκουούσης ἐπὶ τῇ φυγῇ».

## 18ον. **Περὶ διαβολῆς.**

83. Κακουργότερον οὐδὲν διαβολῆς ἐστιν.

84. Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσιν.

85. Διαβολὰς οὐ σῶφρον οὔτε λέγειν πρὸς ἀλλήλους, οὔτε ἀκούοντας ἀποδέχεσθαι.

86. Πελοπίδας, ἀνδρείου στρατιώτου διαβληθέντος αὐτῷ ὡς βλασφημήσαντος αὐτόν, «ἐγὼ τὰ μὲν ἔργα» ἔφη «αὐτοῦ βλέπω, τῶν δὲ λόγων οὐκ ἤκουσα».

## 19ον. **Περὶ πολιτείας.**

87. Σόλων ἐρωτηθείς, πῶς ἂν μὴ γίγνοιτο ἀδίκημα ἐν τῇ πόλει, εἶπεν· εἰ ὁμοίως ἀγανακτοῖεν οἱ μὴ ἀδικούμενοι τοῖς ἀδικουμένοις.

88. Ὁ αὐτὸς ἐρωτηθείς, πῶς ἂν ἄριστα αἱ πόλεις οἰκοῖντο, εἶπεν ἐὰν οἱ μὲν πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντες τοῖς νόμοις.

---

79. *ἢ τὰν ἢ ἐπὶ τᾶς*: ἢ ταύτην τὴν ἀσπίδα νὰ φέρῃς ὀπίσω, ἢ ἐπὶ ταύτης νὰ σ φέρωσιν. —80. *ἀποθνήσκειν*: νὰ πίῃ τὸ κώνειον.— *μνησικακεῖν*: διὰ τὸν θάνατόν μου. — 81. *ἀπαλλαττόμενος*: ἀναχωρῶν·-- *καιρός*: περίστασις. — 82. *ἐν τῇ φυγῇ*: ἐν τῇ ἐξορ ίᾳ.— *κακῶς ἀκουούσης*: ἐπειδὴ κατηγορεῖτο, ἐδυσφημίζετο.— 84. *εὐλαβοῦ*: φοβ οῦ, 85. *οὐ σῶφρον*: ἐστίν.

## 20όν. **Περὶ σεβασμοῦ πρὸς τοὺς γονεῖς.**

89. Ὅστις τοὺς τεκόντας ἐν βίῳ σέβει, ὅ δ' ἐστὶ καὶ ζῶν καὶ θανὼν τοῖς θεοῖς φίλος.

90. Ὅστις φοβεῖται τὸν πατέρα καὶ αἰσχύνεται, οὗτος πολίτης ἀγαθὸς ἔσται.

91. Τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυτοὺς παῖδας.

92. Πατρὸς ἐπιτίμησις ἡδὺ φάρμακον· ἔχει γὰρ πλέον τὸ ὠφελοῦν τοῦ ἐπιδάκνοντος.

93. Ἐπαμεινώνδας ἔλεγεν, ὡς ἥδιστον πάντων αὐτῷ τῶν γεγονότων καλῶν καὶ ἀγαθῶν τὸ τοῦ πατρὸς ἔτι ζῶντος καὶ τῆς μητρὸς ἐν Λεύκτροις νικῆσαι τοὺς Λακεδαιμονίους.

## 21ον. **Περὶ φιλαδελφίας.**

94. Οἱ ἀδελφοὺς παριέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσια πράττουσι τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν.

95. Φιλάδελφον καὶ πένητα λέγεσθαι κρεῖσσον, ἢ μισάδελφον καὶ πλούσιον.

96. Ἡ Περσὶς ἀντὶ τῶν τέκνων ἑλομένη σῶσαι τὸν ἀδελφὸν εἶπεν, ὅτι παῖδας μὲν ἑτέρους κτήσασθαι δύναιτ' ἄν, ἀδελφὸς δ' ἄλλος αὐτῇ γονέων μὴ ὄντων οὐκ ἂν γένοιτο.

97. Ἐρωτηθείς τις, τί χρὴ ποιεῖν ὅτῳ φαῦλος ἀδελφὸς γένοιτο, παρῄνεσε τὰ οἰκειότατα τῶν κακῶν ὑπομένειν μᾶλλον ἢ πειρᾶσθαι

---

91. *τοιοῦτος γίγνου*: τοιουτοτρόπως νὰ συμπεριφέρησαι, τοιαύτην διαγωγὴν νὰ δεικνύῃς.-92. *ἔχει*: ἡ ἐπιτίμησις τοῦ πατρός.-*τὸ ὠφελοῦν*: τὴν ὠφέλειαν.-*τοῦ ἐπιδάκνοντος*: ἀπὸ τὸ πείραγμα, ἀπὸ τὴν λύπην.—93. *ὡς ἥδιστον*: ὅτι γλυκύτατον πάντων τῶν ἀγαθῶν ἦτο τὸ ὅτι ἐνίκησε.-*Λεύκτροις*: κώμη τῆς Βοιωτίας παρὰ τὴν ὁποίαν ἐνίκησεν ἐν ἔτει 371 π. Χ. ὁ Ἐπ. τοὺς Λακεδαιμονίους.—94. *παριέντες*: ἀφίνοντες, παραμελοῦντες.—*τοῖς ἐῶσι*: πρὸς τοὺς παραμελοῦντας.—95, *κρεῖσσον*· ἐστί· προτιμότερον εἶναι.—96. *ἑλομένην*: προτιμήσασα.— 97. *ὅτῳ*: ἐκεῖνος εἰς τὸν

τῶν ἀλλοτρίων· τοῦτο γὰρ ἀνέγκλητον ὡς ἀναγκαῖον, ἐκεῖνο δέ ψεκτὸν ὡς αὐθαίρετον.

98. Ἀπολλωνίδα τὴν Κυζικηνὴν Εὐμένους δὲ τοῦ βασιλέως μητέρα καὶ τριῶν ἄλλων λέγουσι μακαρίζειν ἑαυτὴν ἀεὶ καὶ τοῖς θεοῖς χάριν ἔχειν οὐ διὰ τὸν πλοῦτον οὐδὲ διὰ τὴν ἡγεμονίαν ἀλλ' ὅτι τοὺς τρεῖς υἱοὺς ἑώρα τὸν πρεσβύτατον δορυφοροῦντας κἀκεῖνον ἐν μέσοις αὐτοῖς δόρατα καὶ ξίφη φοροῦσιν ἀδεῶς διαιτώμενον.

## 22ον. Περὶ εὐγενείας.

99. Οὔτε σῖτον ἄριστον τὸν ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλὰ τὸν εὔθετον πρὸς τὴν τροφήν, οὔτε ἄνδρα σπουδαῖον τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλὰ τὸν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα.

100. Σωκράτης ὀνειδιζόμενος ἐπὶ δυσγενείᾳ ὑπό τινος εὐγενοῦς μοχθηροῦ δέ, «ἐμοὶ μὲν τὸ γένος ὄνειδος» ἔφη «σὺ δὲ τῷ γένει».

101. Σώστρατος ὁ αὐλητὴς ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ γονέων ἀσήμων εἶναι, εἶπε «καὶ μὴν διὰ τοῦτο ὤφειλον μᾶλλον θαυμάζεσθαι, ὅτι ἀπ' ἐμοῦ τὸ γένος ἄρχεται».

## 23. Περὶ φιλομαθείας.

102. Μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους· αἰσχρὸν γὰρ τοὺς μὲν ἐμπόρους τηλικαῦτα πελάγη διαπερᾶν ἕνεκα τοῦ πλείω ποιῆσαι τὴν ὑπάρχουσαν οὐσίαν, τοὺς δὲ νεωτέρους μηδὲ τὰς κατὰ γῆν πορείας ὑπομένειν ἐπὶ τῷ βελτίω καταστῆσαι τὴν αὑτῶν διάνοιαν.

---

ὁποῖον.-*ἢ πειρᾶσθαι τῶν ἀλλοτρίων*: ἢ νὰ λαμβάνῃ πεῖραν τῶν ξένων κακῶν.-*τοῦτο*: δηλ. τὸ ἔχειν κακὸν ἀδελφόν.—*ἀνέγκλητον*: ἀκατηγόρητον· δὲν δύναται δηλ. ὁ ἀδελφὸς νὰ κατηγορηθῇ, διότι ἔχει φαῦλον ἀδελφόν.- *ὡς ἀναγκαῖον*: ὡς ὑπὸ τῆς φύσεως δοθέν.- *ἐκεῖνο*: τὸ νὰ κτᾶταί τις φίλους κακούς.— *ὡς αὐθαίρετον*: διότι αὐτὸς τὸ ἐξέλεξεν.— 98. *χάριν ἔχειν*: ὅτι ἦτο εὐγνώμων.- *κἀκεῖνον*: τὸν πρεσβύτατον.—*ἀδεῶς*: ἀφόβως. —99. *τὸν εὔθετον*: τὸν κατάλληλον.—*τῷ τρόπῳ*: κατὰ τὸ ἦθος, κατὰ τὸν χαρακτῆρα. —100. *ἐπὶ δυσγενείᾳ*: ἐπὶ ἀσημότητι γένους.—*σὺ δὲ τῷ γένει*: ὄνειδος εἶ = εἶσαι.— 101. *ἐπὶ τῷ..εἶναι*: ἐπὶ τῷ ὅτι κατήγετο ἐκ γονέων ἀσήμων.—102. *μὴ κατόκνει*:

### 24ον. **Περὶ φιλίας.**

103. Μηδένα φίλον ποιοῦ, πρὶν ἂν ἐξετάσῃς, πῶς κέχρηται τοῖς πρότερον φίλοις· ἔλπιζε γὰρ αὐτὸν καὶ περὶ σὲ γενέσθαι τοιοῦτον, οἷος καὶ περὶ ἐκείνους γέγονε.

104. Βραδέως μὲν φίλος γίγνου, γενόμενος δὲ πειρῶ διαμένειν. Ὁμοίως γὰρ αἰσχρὸν μηδένα φίλον ἔχειν καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

105. Δοκίμαζε τοὺς φίλους ἔκ τε τῆς περὶ τὸν βίον ἀτυχίας καὶ τῆς ἐν τοῖς κινδύνοις κοινωνίας· τὸ μὲν γὰρ χρυσίον ἐν τῷ πυρὶ βασανίζομεν, τοὺς δὲ φίλους ἐν ταῖς ἀτυχίαις διαγιγνώσκομεν.

106. Ἀκριβεῖς ποιοῦ τὰς δοκιμασίας τῶν συνόντων εἰδὼς ὅτι πάντες οἱ μή σοι πλησιάσαντες ὅμοιόν σε τοῖς χρωμένοις εἶναι νομιοῦσιν. Πιστοὺς δὲ φίλους ἡγοῦ μὴ τοὺς ἅπαν ὅ,τι ἂν λέγῃς ἢ ποιῇς ἐπαινοῦντας, ἀλλὰ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας.

### 25ον. **Περὶ δόξης.**

107. Περὶ πλείονος ποιοῦ δόξαν καλὴν ἢ πλοῦτον μέγαν τοῖς παισὶ καταλιπεῖν· ὁ μὲν γὰρ θνητός, ἡ δὲ ἀθάνατος· καὶ δόξῃ μὲν χρήματα κτητά, δόξα δὲ χρημάτων οὐκ ὠνητή, καὶ τὰ μὲν καὶ φαύλοις παραγίγνεται, τὴν δ' οὐχ οἷόν τ' ἄλλ' ἢ τοὺς διενεγκόντας κτήσασθαι.

### 26ον. **Περὶ τῆς προνοίας τοῦ Θεοῦ ὑπὲρ τοῦ ἀνθρώπου.**

108. Οἱ θεοὶ ἐπιμελῶς πάντα, ὧν οἱ ἄνθρωποι δέονται, κατεσκευάκασιν.

109. Πρῶτον μὲν φῶς ἡμῖν παρέσχον, ὅγ' εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν.

---

μὴ βαρύνεσαι.—*ἐπὶ τῷ καταστῆσαι*: ἵνα καταστήσωσι—104.*διαμένειν*: νὰ διαμένῃς σταθερός.—105.*κοινωνίας*: συμμετοχῆς.—*βασανίζομεν*: δοκιμάζομεν ἐὰν εἶνε γνήσιον.—106. *τῶν συνόντων*: τῶν φίλων.—*τοῖς χρωμένοις*: τοῖς φίλοις.—107. *περὶ πλείονος ποιοῦ*: προτίμα.—*δόξῃ*: διὰ τῆς δόξης.—*οὐκ ὠνητή*: δὲν δύναται νὰ ἀγορασθῇ.—*χρημάτων*: ἀντὶ χρημ.—*οὐχ οἷόν τε*: δὲν εἶνε δυνατόν.—*διενεγκόντας*: τοὺς ὑπερέχοντας —109 *ἂν ἦμεν*: θὰ ἤμεθα.

110. Ἀλλὰ μὴν καὶ ἀναπαύσεως δεομένοις ἡμῖν νύκτα παρέχουσι κάλλιστον ἀναπαυτήριον.

111. Ἐπειδὴ ἡ νὺξ διὰ τὸ σκοτεινὴ εἶναι ἀσαφής ἐστιν, ἄστρα ἐν τῇ νυκτὶ ἀνέφηναν, ἃ ἡμῖν τῆς νυκτὸς τὰς ὥρας ἐμφανίζει καὶ διὰ τοῦτο πολλὰ ὧν δεόμεθα πράττομεν· ἔτι δὲ καὶ τὴν σελήνην, ἣ οὐ μόνον τῆς νυκτός, ἀλλὰ καὶ τοῦ μηνὸς τὰ μέρη φανερὰ ἡμῖν ποιεῖ.

112. Ἐπεὶ δὲ τροφῆς δεόμεθα, ταύτην ἡμῖν ἐκ τῆς γῆς ἀναδιδόασιν καὶ ὥρας ἁρμοττούσας πρὸς τοῦτο παρέχουσιν, αἳ ἡμῖν οὐ μόνον ὧν δεόμεθα πολλὰ καὶ παντοῖα παρασκευάζουσιν, ἀλλὰ καὶ οἷς εὐφραινόμεθα.

113. Ἔτι δὲ καὶ ὕδωρ ἡμῖν παρέχουσιν, ὃ συμφύει καὶ συναύξει τῇ γῇ πάντα τὰ χρήσιμα ἡμῖν, συντρέφει δὲ καὶ αὐτοὺς ἡμᾶς καὶ μειγνύμενον πᾶσαις ταῖς τροφαῖς εὐκατεργαστοτέρας τε καὶ ὠφελιμωτέρας καὶ ἡδίους ποιεῖ αὐτάς· ἐπειδὴ δὲ πλείστου δεόμεθα ὕδατος, ἀφθονέστατον αὐτὸ παρέχουσιν ἡμῖν.

114. Καὶ πῦρ δ' ἐπόρισαν ἡμῖν, ἐπίκουρον μὲν ψύχους, ἐπίκουρον δὲ σκότους, συνεργὸν δὲ πρὸς πᾶσαν τέχνην καὶ πάντα ὅσα ὠφελείας ἕνεκα ἄνθρωποι κατασκευάζονται. Οὐδὲν γὰρ ἀξιόλογον ἄνευ πυρὸς ἄνθρωποι τῶν πρὸς τὸν βίον χρησίμων κατασκευάζονται.

115. Ἔτι δὲ προσέθηκαν τοῖς ἀνθρώποις αἰσθήσεις, δι' ὧν ἀπολαύομεν πάντων τῶν ἀγαθῶν, ὀφθαλμοὺς μὲν ὥσθ' ὁρᾶν τὰ ὁρατά, ὦτα δὲ ὥστε ἀκούειν τὰ ἀκουστά. Οὐδεμία δ' ἂν αἴσθησις ἦν ἡμῖν ὀσμῶν, εἰ μὴ ῥῖνες προσετέθησαν, οὐδὲ γλυκέων οὐδὲ δριμέων εἰ μὴ γλῶττα γνώμων τούτων ἐνειργάσθη.

116. Ἐπεὶ δὲ ἀσθενής ἐστιν ἡ ὄψις βλεφάροις αὐτὴν ἐθύρωσεν, ἅ, ὅταν μὲν αὐτῇ χρῆσθαί τι δέῃ, ἀναπετάννυται ἐν δὲ τῷ ὕπνῳ

---

110. *ἡμῖν δεομ*.: εἰς ἡμᾶς ἔχοντας ἀνάγκην. — 111. *καὶ τὴν σελήνην*: ἐνν. ἀνέφηναν. — 112. *καὶ οἷς εὐφραινόμεθα*: καὶ ἐκεῖνα διὰ τῶν ὁποίων εὐφραινόμεθα. — 113. *συμφύει...τῇ γῇ*: βοηθεῖ τὴν γῆν εἰς τὴν φύτρωσιν καὶ αὔξησιν. — *εὐκατεργαστοτέρας*: εὐπεπτοτέρας. — 114. *ἐπίκουρον μὲν*: βοηθὸν εἰς ἡμᾶς κατὰ τοῦ ψύχους. — *κατασκευάζονται* κατασκευάζουσι δι' ἑαυτούς. — 115. *ἂν...ἦν*: θὰ ἦτο. — *εἰ μὴ...ἐνειργάσθη*: ἐὰν (ἐν τῷ στόματι) δὲν ἤθελε ποιηθῇ. — *γνώμων*: κριτής. — 116 *βλεφάροις ἐθύρωσε*: κατεσκεύασε τὰ βλέφαρα ὡς θυρώματα. — *ὅταν...δέῃ*: ὅταν ὑπάρχῃ ἀνάγκη. — *ἀναπετάννυται*: ἀνοίγονται.

συγκλείεται. Ἵνα δὲ μηδὲ ἄνεμοι βλάπτωσι, βλεφαρίδας ἐνέφυσε καὶ ὀφρῦς· ὅπως μὴ ὁ ἐκ τῆς κεφαλῆς ἱδρὼς κακουργῇ.

117. Μόνον δὲ τῶν ζῴων ἄνθρωπον ὀρθὸν ἀνέστησαν· ἡ δὲ ὀρθότης καὶ προορᾶν πλέον ποιεῖ δύνασθαι καὶ τὰ ὕπερθεν μᾶλλον θεᾶσθαι καὶ ἧττον κακοπαθεῖν. Ἔπειτα τοῖς μὲν ἄλλοις ἑρπετοῖς πόδας ἔδοσαν, οἳ τὸ πορεύεσθαι μόνον παρέχουσιν, ἀνθρώπῳ δὲ καὶ χεῖρας προσέθεσαν, αἳ τὰ πλεῖστα, οἷς εὐδαιμονέστεροι ἐκείνων ἐσμέν, ἐξεργάζονται.

118. Καὶ μήν, γλῶττάν γε πάντων τῶν ζῴων ἐχόντων, μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν ἀρθροῦν τε τὴν φωνὴν καὶ σημαίνειν ἀλλήλοις ἃ βούλονται. Καὶ λογισμὸν ἡμῖν ἐνέφυσαν, ᾧ καταμανθάνομεν τὰ συμφέροντα καὶ τῶν τε ἀγαθῶν ἀπολαύομεν καὶ τὰ κακὰ ἀλεξόμεθα.

119. Διὰ πάντα τοίνυν ταῦτα τἀγαθὰ χρὴ καὶ ἀνθρώπους καὶ πόλεις καὶ ἔθνη θεοσεβέστατα εἶναι.

### 27ον **Περὶ γεωργίας.**

120. Ἡ ἐπιμέλεια τῆς γεωργίας καὶ οἴκου αὔξησίς ἐστι καὶ σωμάτων ἄσκησις.

121. Πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν οἱ ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις καὶ ἀφ' ὧν ἡδυπαθοῦσι, προσεπιφέρει.

122. Ἔπειτα ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει.

123. Παρέχουσα δὲ ἀφθονώτατα ἀγαθὰ οὐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ ψύχη τε χειμῶνος καὶ θάλπη θέρους ἐθίζει καρτερεῖν. Καὶ τοὺς μὲν αὐτουργοὺς διὰ τῶν χειρῶν γυμνάζουσα ἰσχὺν αὐτοῖς προστίθησι, τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας ἀνδρίζει πρωΐ τε ἐγείρουσα καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα.

124. Ἔτι δὲ ἡ γῆ τοὺς ἀνθρώπους καὶ δικαιοσύνην διδάσκει·

---

117. *καὶ προορᾶν...*: γίνεται αἰτία ὥστε ὁ ἄνθρωπος νὰ βλέπῃ περισσότερον ἐμπρός.—118. *σημαίνειν* : νὰ δηλῶσι.—*λογισμόν* : νοῦν.— ᾧ = δι' οὗ.—*ἀλεξόμεθα* : ἀποκρούομεν.—120. *οἴκου* : τῆς περιουσίας.—121. *ἀφ' ὧν ἡδυπαθοῦσι*: τὰ μέσα διὰ τῶν ὁποίων ζῶσιν ἐν τρυφῇ, ἐν ἡδοναῖς.—122. *τὰ δέ* : τὰ βοσκήματα π.χ. τὰ πτηνὰ κλπ.—123. *μετὰ μαλακίας* : μετὰ μαλθακότητος.—*αὐτουργούς* : τοὺς διὰ τῆς χειρὸς ἐργαζομένους, κατ' ἀντίθεσιν πρὸς τοὺς *τῇ ἐπιμελείᾳ γεωργοῦντας*.—124. *εὖ φερομένης* : ἐὰν εὐδοκιμῇ.—*ἔρρωνται* : εἶνε ἐν ἀκμῇ.

τοὺς γὰρ ἄριστα θεραπεύοντας αὐτὴν πλεῖστα ἀγαθὰ ἀντιποιεῖ. Ὥστε δικαίως ἡ γεωργία καλεῖται τῶν ἄλλων τεχνῶν μήτηρ καὶ τροφός. Εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας, ἔρρωνται καὶ αἱ ἄλλαι τέχναι ἅπασαι, ὅπου δ' ἂν ἀναγκασθῇ ἡ γῆ χερσεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι σχεδόν τι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.

# Γ'. ΠΟΙΚΙΛΑ ΔΙΗΓΗΜΑΤΑ

## 1ον. **Στρατηγήματα.**

### 1. Κίμωνος.

Κίμων ἐπ' Εὐρυμέδοντι ποταμῷ νικᾷ τοὺς βασιλέως σατράπας καὶ πολλὰ σκάφη βαρβαρικὰ ἑλὼν ἐς ταῦτα τοὺς Ἕλληνας ἐμβῆναι κελεύει καὶ στολὰς ἐνδῦναι Μηδικὰς καὶ πλεῖν ἐπὶ Κύπρου. Κύπριοι τῇ ὄψει τοῦ βαρβαρικοῦ σχήματος ἐξαπατώμενοι τὸν στόλον ὡς φίλιον ὑποδέχονται· οἱ δὲ ἀποβάντες καὶ σφόδρα γε ἀντὶ βαρβάρων Ἕλληνες ἐφάνησαν καὶ Κυπρίους ἐνίκησαν.

### 2. Ἀλκιβιάδου.

Ἀλκιβιάδης προσπλεύσας πολεμίᾳ πόλει τοὺς στρατιώτας ἀποβιβάσας νύκτωρ καὶ ἡμέραν ἀναμείνας, τῶν πολεμίων οὐκ ἐξιόντων, ἐνέδραν ἐγκαταστήσας τὰς σκηνὰς ἐμπρήσας ἀνήχθη, οἱ δὲ ἐκ τῆς πόλεως ἀνηγμένον ἰδόντες θαρρήσαντες ἐξελθόντες ἐσκεδάννυντο ἀνὰ τὴν χώραν. Οἱ δὲ λοχῶντες ἐπαναστάντες εἷλον οὐκ ὀλίγα σώματα καὶ λείαν ἄφθονον. Ἀλκιβιάδης δὲ πάλιν προσπλεύσας καὶ ἀναλαβὼν αὐτὰ τὰ ληφθέντα καὶ τοὺς λαβόντας ἀπέπλευσεν.

1. *Εὐρυμέδοντι* : ποταμῷ τῆς Παμφυλίας ἐν Μ. Ἀσίᾳ.— 2. *οὐκ ἐξιόντων*: ἐπειδὴ δὲν ἐξήρχοντο πρὸς μάχην.—*ἀνήχθη* : ἀπέπλευσεν ἐκ τοῦ λιμένος—*ἐσκεδάννυντο* : ἐσκορπίζοντο.—*οἱ λοχῶντες* : οἱ ἐνεδρεύοντες.

### 3. Ἰφικράτους

Ἰφικράτης ἐν πεδίῳ μεγάλῳ παρετάττετο. Οἱ πολέμιοι πολλῷ πλείους ὄντες προσέβαλον· ὁ δὲ κατόπιν τῶν αὐτοῦ στρατιωτῶν τάφρον βαθεῖαν ὤρυξεν, ὡς μὴ φυγῆς ἐλπίδας ἔχοντες γενναιότερον ἀγωνίζοιντο μένοντες.

### 4. Χάρητος.

Χάρης ἐν Θρᾴκῃ, χειμῶνος ὄντος ὑπερβολῇ, τοὺς στρατιώτας ὁρῶν φειδομένους τῶν ἱματίων καὶ πρὸς τὸ πράττειν ἃ χρὴ διακειμένους ὀκνηρῶς παρήγγειλεν αὐτοῖς ἀλλάττειν παρ' ἀλλήλων τὰ ἱμάτια. Τούτου γὰρ γενομένου, τῶν ἀλλοτρίων ἐσθήτων ἕκαστος οὐ φειδόμενος ἑτοιμότερος ἦν πράττειν τὰ κελευόμενα.

### 5. Κόνωνος.

Κόνων ναυμαχεῖν μέλλων, ἀγγείλαντος αὐτομόλου ὡς αἱ τῶν πολεμίων ἄρισται τριήρεις πεποίηνται σκοπὸν ἑλεῖν τὴν Κόνωνος ναῦν, κατασκευάσας ὁμοίαν τριήρη τῇ ἑαυτοῦ καὶ τὸν στρατηγικὸν κόσμον περιθεὶς ἔταξεν ἐπὶ τὸ δεξιὸν κέρας καὶ προσέταξεν ἀπὸ ταύτης ἆραι τὸ σημεῖον τῷ παντὶ στόλῳ. Οἱ μὲν πολέμιοι ταῦτα ἰδόντες ὅσοι τὰς ἀρίστας ναῦς εἶχον εὐθέως ἐπὶ τὴν στρατηγίδα ὥρμησαν. Κόνων δὲ τῷ λοιπῷ στόλῳ προσπεσὼν τὰς μὲν κατέδυσε, τὰς δὲ κατεδίωξε.

### 6. Ἀρχιδάμου.

Λακεδαιμονίων ἡ πόλις ἐσείσθη καὶ πέντε μόνον διεσώθησαν οἰκίαι. Ἀρχίδαμος δ' ὁρῶν τοὺς ἀνθρώπους ἐπὶ τὸ σῴζειν τὰ ἐν ταῖς οἰκίαις τραπομένους, δείσας μὴ πάντες ἀποληφθέντες ἀπόλοιντο τῇ σάλπιγγι

---

3. *ὡς*: ἵνα.—5. *ἀγγείλαντος*: ὅτε ἀνήγγειλεν.—*τὸν στρατηγικὸν κόσμον*: τὰ στρατηγικὰ σήματα.—*τὸ σημεῖον*: τῆς ἐνάρξεως τῆς μάχης.—*ἐπὶ τὴν στρατηγίδα*: κατὰ τῆς ναυαρχίδος.—6. *ἀποληφθέντες*: ἀποκλεισθέντες ἐν ταῖς οἰκίαις.

πολεμίων ἔφοδον ἐσήμηνεν. Πιστεύσαντες οἱ Λάκωνες πρὸς αὐτὸν συνέδραμον· αἱ μὲν οἰκίαι συνέπεσον, αὐτοὶ δὲ οὕτως ἐσώθησαν.

### 7. Κλεάρχου.

Κλέαρχος πολλὴν στρατιὰν ἄγων ἦλθεν ἐπὶ ποταμόν, τῇ μὲν εὐδιάβατον ἄχρι κνήμης, τῇ δὲ βαθὺν ἄχρι μαστοῦ· πρῶτον μὲν οὖν ἐπειρᾶτο κατὰ τὸ εὐδιάβατον ἄγειν. Τῶν δὲ πολεμίων ἀπωτέρω τοῦ ποταμοῦ σφενδονώντων καὶ τοξευόντων καὶ τοὺς διαβαίνοντας ἀνειργόντων, ὁ Κλέαρχος τοὺς ὁπλίτας ἤγαγε διὰ τοῦ βαθυτέρου, ἵνα τὸ μὲν πολὺ τοῦ σώματος ὑπὸ τοῦ ποταμοῦ κρύπτοιτο, τὰ δὲ ὑπερέχοντα τοῦ ὕδατος τῇ ἀσπίδι φυλάσσοιτο. Οὕτω δ' οἱ μὲν ὁπλῖται ἀσφαλῶς διαβαίνοντες ἀνέκρουσαν τοὺς πολεμίους, ἡ δὲ λοιπὴ στρατιὰ κατὰ τὸ εὔπορον τοῦ ποταμοῦ διῆλθεν ἀκωλύτως.

### 8. Μ. Ἀλεξάνδρου.

Ἀλέξανδρος πολεμῶν προσέτασσε τοῖς στρατηγοῖς ξυρεῖν τὰ τῶν Μακεδόνων γένεια, ἵνα μὴ παρέχοιεν πρόχειρον λαβὴν τοῖς ἐναντίοις.

### 9. Τοῦ αὐτοῦ.

Ἀλέξανδρος, πολιορκῶν Τύρον, βουλόμενος μέγα χῶμα τοῖς τείχεσι τῶν Τυρίων περιβαλεῖν, πρῶτος αὐτός, κόφινον λαβών, χοῦ πληρώσας προσήνεγκεν. Οἱ Μακεδόνες, ὡς εἶδον αὐτουργοῦντα τὸν βασιλέα, παραχρῆμα τὰς χλαμύδας ἀπορρίψαντες τὸ χῶμα διὰ τάχους ἤγειραν.

### 10. Τιμάρχου.

Τίμαρχος Αἰτωλὸς ἀποβὰς τῆς Ἀσίας εἰς χωρίον πολυάνθρωπον, ἵνα μὴ φύγοιεν οἱ στρατιῶται τὸ πλῆθος τῶν πολεμίων, τὰς ναῦς

---

7, *τῇ μὲν....τῇ δέ*: ἀλλαχοῦ μέν,....ἀλλαχοῦ δέ.—*ἀνειργόντων*: ἐπειδὴ ἠμπόδιζον.—*οἱ μέν*: οἱ Θρᾷκες.—9. *Τύρον*: πόλις τῆς Φοινίκης τῆς Ἀσίας.—*μέγα χῶμα περιβαλεῖν*: μέγα πρόχωμα νὰ ἀνεγείρῃ περὶ τὰ τείχη·—*αὐτουργοῦντα*: διὰ τῶν ἰδίων του χειρῶν ἐργαζόμενον.

κατέπρησεν. Οἱ δέ, ἐλπίδα φυγῆς οὐκ ἔχοντες, ἀγωνισάμενοι γενναίως ἐνίκησαν.

### 11. Φιλοποίμενος.

Φιλοποίμην ὑπὸ Λακεδαιμονίων ἐδιώκετο· καί, ὅσον οὔπω καταλαμβανόμενος, τὸν Εὐρώταν διαβὰς προσέταξε τοῖς ἱππεῦσιν ἀποχαλινῶσαι τοὺς ἵππους καὶ ἀπὸ τοῦ ποταμοῦ ποτίζειν τοῦ παρακειμένου τόπου δασέος ὄντος καὶ πολλὴν ὕλην ἔχοντος. Οἱ δὲ Λακεδαιμόνιοι πολὺ τὸ θράσος ἰδόντες τῶν ἀποχαλινωσάντων τοὺς ἵππους καὶ τῶν ποτιζόντων ὑπώπτευσαν ἐν τῇ ὕλῃ συμμάχους τοῦ Φιλοποίμενος πολλοὺς ἀποκεκρύφθαι καὶ μὴ τολμήσαντες διαβῆναι τὸν ποταμὸν ἀνέστρεψαν.

### 12. Φωκέων.

Φωκεῖς εἰς τὸν Παρνασὸν κατακλεισθέντες ὑπὸ Θετταλῶν γυψώσαντες αὐτοὺς καὶ τὰ ὅπλα νυκτὶ πανσελήνῳ καὶ σύνθημα ἀλλήλοις δόντες φείδεσθαι τῶν γεγυψωμένων ἐπικαταβάντες τοῖς πολεμίοις ἐπέθεντο. Οἱ δέ, ὥσπερ φάσμα ξένον καὶ ἀλλόκοτον φοβηθέντες, ἔνιοι δὲ καὶ νομίσαντες ἄλλους εἶναι τοὺς ἐπιτιθεμένους, ἡττήθησαν καὶ τετρακισχίλιοι ἀπέθανον.

### 13. Κύρου τοῦ πρεσβυτέρου.

Κῦρος Πέρσας ἀποστῆναι Μήδων ἔπεισεν ὧδε· δείξας χωρίον αὐτοῖς ἀργὸν καὶ ἀκανθῶδες ἐκέλευσεν ἡμερῶσαι· οἱ δὲ σὺν πολλῷ πόνῳ ἡμέρωσαν. Τῆς ὑστεραίας ἐκέλευσε λουσαμένους ἥκειν. Ἐπεὶ δ' ἧκον, προέθηκεν αὐτοῖς εὐωχίαν ἄφθονον καὶ μετὰ τὴν εὐωχίαν ἤρετο, ποτέρα κρείσσων ἡμέρα. Οἱ δὲ ὡμολόγησαν τῆς χθὲς τὴν σήμερον τόσῳ κρείττονα, ὅσῳ κακοδαιμονίας εὐδαιμονίαν. «Οὐκοῦν»,

---

10. *κατέπρησεν*: κατέκαυσεν.—11. *Φιλοποίμην*: περίφημος στρατηγὸς τῶν Ἀχαιῶν.—*Εὐρώταν*: τὸν ποταμὸν τῆς Σπάρτης.—*ὕλην*: δένδρα κλπ.—*ἀνέστρεψαν*: ὠπισθοχώρησαν.—12. *γυψώσαντες*: ἀλείφοντες μὲ γύψον.—13. *ἀργόν*: ἀκαλλιέργητον.—*ἥκειν*: νὰ ἔλθωσι παρὰ τῷ Κύρῳ.—*μὴ μελλήσαντες*: χωρὶς νὰ βραδύνωσιν.

ὁ Κῦρος ἔφη, «τὰ τῆς εὐδαιμονίας ἀγαθὰ ἕξετε, ἣν τῆς Μήδων δουλείας ἀποστῆτε». Πέρσαι μὴ μελλήσαντες ἀφίστανται καὶ βασιλέα Κῦρον στησάμενοι αὐτούς τε Μήδους κατέλυσαν καὶ τῆς ἄλλης Ἀσίας ἦρξαν.

### 14. Ζωπύρου.

Δαρεῖος πολιορκῶν Βαβυλῶνα χρόνῳ μακρῷ τὴν πόλιν ἑλεῖν οὐχ οἷός τε ἦν. Ζώπυρος Δαρείου σατράπης ἀκρωτηριάσας τὸ πρόσωπον ἧκεν αὐτόμολος, ὡς ταῦτα δὴ ὑπὸ Δαρείου παθών. Βαβυλώνιοι πιστεύουσι τῇ ὄψει τῆς συμφορᾶς καὶ τῷ Ζωπύρῳ τὴν πόλιν ἐπιτρέπουσιν. Ὁ δὲ νύκτωρ ἀνοίγει τὰς πύλας. Καὶ Δαρεῖος κρατήσας Βαβυλῶνος ἐκεῖνο δὴ τὸ λαμπρὸν ἐφθέγξατο, «Ἀλλ' οὐδὲ εἴκοσι Βαβυλῶνας ἔχειν ἐβουλόμην ἄν, ἐφ' ᾧ τε ὁρᾶν τοιαῦτα παθόντα Ζώπυρον».

## 2ον. **Γυναικῶν ἀρεταί.**

### 1. Τελέσιλλα.

Κλεομένης Σπαρτιατῶν βασιλεὺς κτείνας ἐν παρατάξει Ἀργείων ἄνδρας ἑπτακισχιλίους ἑπτακοσίους ἑβδομήκοντα ἑπτὰ ἐβάδιζε ἐπὶ τὸ Ἄργος ὡς κατὰ κράτος αἱρήσων τὴν πόλιν. Τελέσιλλα ἡ μουσική, τὰς Ἀργείας ὁπλίσασα, προήγαγεν εἰς μάχην. Αἱ δέ, ἔνοπλοι παρ' ἔπαλξιν ἱστάμεναι κύκλῳ τὰ τείχη φραξάμεναι Κλεομένη μὲν ἀπεκρούσαντο, Δημάρατον δὲ τὸν ἕτερον βασιλέα ἐξεώσαντο καὶ τὴν πόλιν ἁλῶναι κινδυνεύουσαν ἀνέσωσαν. Τοῦτο τὸ στρατήγημα τῶν γυναικῶν Ἀργεῖοι τιμῶσιν ἑορτῇ τὰς μὲν γυναῖκας ἀνδρείοις χιτῶσι καὶ χλαμύσι, τοὺς δὲ ἄνδρας πέπλοις γυναικείοις ἀμφιεννύντες.

### 2. Χιλωνίς.

Χιλωνὶς Θεοπόμπου γυνή, μαθοῦσα τὸν ἄνδρα ὑπὸ Ἀρκάδων αἰχμάλωτον φυλάττεσθαι ἦλθεν εἰς τοὺς πολεμίους ἑκοῦσα. Θαυμάσαντες

---

14. *οὐχ οἷός τε ἦν*: δὲν ἠδύνατο.—*ἧκεν*: εἰς Βαβυλῶνα.—*ὡς ταῦτα...παθών*: ὅτι δῆθεν ἔπαθε ταῦτα ὑπὸ τοῦ Δαρείου.— *ἐπιτρέπουσιν*: ἀναθέτουσι τὴν σωτηρίαν τῆς πόλεως.—*ἐφ' ᾧ τε*: ὑπὸ τὸν ὅρον.

1. *Τελέσιλλα*: Ἀργεία ποιήτρια.—*παρ' ἔπαλξιν*: εἰς τοὺς προμαχῶνας τοῦ τείχους.—*ἀνδρείοις χιτῶσι*: μὲ ἀνδρικοὺς χιτῶνας.—2. *τὸ φίλανδρον*: τὴν πρὸς τὸν ἑαυτῆς ἄνδρα ἀγάπην.

αὐτῆς τὸ φίλανδρον Ἀρκάδες ἐπέτρεψαν ἐς τὸ δεσμωτήριον αὐτὴν παρελθεῖν. Ἡ δὲ τὴν αὐτῆς ἐσθῆτα τῷ ἀνδρὶ περιθεῖσα τὴν ἐκείνου δὲ αὐτὴ λαβοῦσα ἔπεισεν αὐτὸν ὑπεξελθεῖν, αὐτὴ δὲ ἀντ' αὐτοῦ παρὰ τοῖς πολεμίοις ἔμεινε. Θεόπομπος τῷ στρατηγήματι τῆς γυναικὸς διασωθεὶς καὶ αὐτὸς τὴν ἱέρειαν τῆς Ἀρτέμιδος ἥρπασε. Τεγεᾶται ταύτην ἀπολαβεῖν θέλοντες ἀπέδοσαν αὐτῷ τὴν Χιλωνίδα.

### 3. Θεανώ.

Θεανὼ Παυσανίου μήτηρ, ἡνίκα Παυσανίας μηδίζων ἁλοὺς κατέφυγεν ἱκέτης ἐς τὸ ἱερὸν τῆς Ἀθηνᾶς τῆς Χαλκιοίκου, ὅθεν ἀποσπάσαι τὸν ἱκέτην οὐκ ἦν θέμις, αὐτὴ πρὸ τῶν ἄλλων ἀφικομένη πλίνθον πρὸς ταῖς θύραις ἀπηρείσατο. Οἱ Λάκωνες, θαυμάσαντες τὴν ἀνδρείαν ὁμοῦ καὶ τὴν σοφίαν, ἕκαστος πλίνθον ἐνήρμοσε ταῖς θύραις, ὥστε ἄμφω γενέσθαι, οὔτε τὸν ἱκέτην ἀπέσπασαν καὶ τὸν προδότην ἐναποικοδομήσαντες διέφθειραν.

### 4. Φωκίδες.

Φωκεῦσι καὶ Θετταλοῖς πόλεμος ἄσπονδος ἦν, ὥστε καὶ Θετταλοὶ δόγμα ἐκύρωσαν, μηδενὸς ἀπέχεσθαι τῶν ἐν ἡλικίᾳ, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσασθαι. Φωκέων μελλόντων συμβάλλειν ἐς μάχην αἱ Φωκίδες ἐψηφίσαντο. «Ὕλην παμμεγέθη νησώμεθα· ἐπειδὰν δὲ αἰσθώμεθα τοὺς ἄνδρας ἡττωμένους, αὐταὶ τῆς πυρᾶς μετὰ τῶν τέκνων ἐπιβῶμεν καὶ τὴν ὕλην ὑφάψασαι καταπρήσωμεν.» Τοῦτο τὸ ψήφισμα τῶν γυναικῶν τοὺς Φωκέας ἐποίησεν ἀνδρειότερον παρατάξασθαι καὶ κρατῆσαι τῇ μάχῃ.

### 5. Ἀκαρνανίδες.

Αἰτωλῶν Ἀκαρνᾶσι μακρῷ χρόνῳ πολεμούντων, τέλος δὲ κατὰ προδοσίαν εἰς τὴν πόλιν παραπεσόντων, οἱ μὲν ἄνδρες εὐρώστως ἐν

3. *οὐκ ἦν θέμις*: δὲν ἦτο ὑπὸ τοῦ Θεοῦ ἐπιτετραμμένον, δὲν ἦτο εὐσεβές.—*ἀπηρείσατο*: ἐστήριξεν. —*ἐναποικοδομήσαντες*: ἀποκλείσαντες δι' οἰκοδομῆς.—*οὔτε*: οὔτε δηλ.—*διέφθειραν*: ἐθανάτωσαν.—4. *ἄσπονδος*: ἀμείλικτος, δεινός.—*δόγμα ἐκύρωσαν*: ἐψηφίσαντο, ἀπεφάσισαν.—*μηδενὸς ἀπέχεσθαι τῶν ἐν ἡλικίᾳ*: νὰ φονεύωσι δηλ. πάντας τοὺς ἄνδρας.—*ὕλην νησώμεθα*.—ξύλα ἄς σωρεύσωμεν, ἀόρ. τοῦ *νέω*.—5. *ἐν παραλόγῳ*: ἐν ἀπροσδοκήτῳ.—*ἐνδιδόντας*: ὑποχωροῦντας.—*πα-*

παραλόγῳ κινδύνῳ παρετάσσοντο· αἱ δὲ γυναῖκες ἐπὶ τὰς στέγας ἀναδραμοῦσαι αἱ μὲν λίθους αἱ δὲ κεράμους βάλλουσαι πολλοὺς τῶν πολεμίων ἀνῄρουν. Τοὺς δὲ ἄνδρας ἐνδιδόντας καὶ ἡττωμένους αὗται ποτὲ μὲν παρακαλοῦσαι, ποτὲ δὲ ὀνειδίζουσαι, ποτὲ δὲ ἱκετεύουσαι ἀνέστρεψαν ἐπὶ τὴν μάχην. Ἐπεὶ δὲ πάλιν ἀγωνισάμενοι γενναίως ἑάλωσαν, αἱ γυναῖκες ἐπὶ τοσοῦτον περιεπλέκοντο τοῖς σώμασι τῶν ἀνδρῶν ἢ ἀδελφῶν ἢ πατέρων, ὥστε αὐτὰς ἐξαρτωμένας ἀποσπᾶν οἱ πολέμιοι μὴ δυνάμενοι συγκατεφόνευσαν τοῖς ἀνδράσιν.

## 3ον. **Τὰ παλαιὰ τῶν Ἀθηναίων ἐπιτηδεύματα.**

1. Ἀθηναῖοι πόλιν οὐ τὰ οἰκοδομήματα ἡγοῦντο εἶναι, οἷον τείχη καὶ ἱερὰ καὶ νεωσοίκους, ἀλλὰ ταῦτα μὲν ὥσπερ σῶμά τι ἑδραῖον καὶ ἀκίνητον ὑπάρχειν εἰς ὑποδοχὴν καὶ ἀσφάλειαν τῶν πολιτευομένων, τὸ δὲ πᾶν κῦρος ἐν τοῖς πολίταις ἐτίθεντο. Τοῦτο δὴ τοίνυν κατανοήσαντες ἐπεμελοῦντο μὲν καὶ τοῦ σώματος τῆς πόλεως κατακοσμοῦντες αὐτό, ὡς κάλλιστον αὐτοῖς εἴη, οἰκοδομήμασί τε καὶ τείχεσι, μάλιστα δὲ προὐνόουν ὅπως οἱ πολῖται ἀγαθοὶ μὲν τὰς ψυχὰς ἰσχυροὶ δὲ τὰ σώματα γίγνοιντο. Οἱ γὰρ τοιοῦτοι καὶ ἐν εἰρήνῃ καὶ ἐν πολέμῳ σώσουσι τὴν πόλιν καὶ ἐλευθέραν καὶ εὐδαίμονα διαφυλάξουσιν.

2. Τὴν μὲν δὴ πρώτην ἀνατροφὴν αὐτῶν ταῖς μητράσι καὶ τίτθαις καὶ παιδαγωγοῖς ἐπέτρεπον. Ἐπεὶ δὲ συνετοὶ ἤδη γίγνοιντο καὶ αἰδὼς καὶ ἐρύθημα καὶ φόβος καὶ ἐπιθυμία τῶν ἀρίστων ἀναφύοιτο αὐτοῖς, τηνικαῦτα ἤδη παραλαβόντες αὐτοὺς ἐδίδασκον ἄλλα μὲν τῆς ψυχῆς μαθήματα καὶ πόνους προτιθέντες, ἄλλως δὲ πρὸς τοὺς πόνους καὶ τὰ σώματα ἐθίζοντες.

---

*ρακαλοῦσαι*: παρορμῶσαι.—*ἀνέστρεψαν*: ἐγύρισαν αὐτούς· ἠνάγκασαν τοὺς ἄνδρας των νὰ ἐπιστρέψωσιν εἰς τὴν μάχην.

1. *νεωσοίκους*: οἰκίσκοι,ἐντὸς τῶν ὁποίωνἐφύλαττον τὰςναῦς ἀνελκύοντεςαὐτὰς ἐκ τῆςθαλάσσης.—*ἀλλά ταῦτα μέν..*: ἀλλὰἐνόμιζον ὅτι ταῦτα μὲν(τὰ τείχηκλπ.) εἶνε σῶμά τι σταθερὸνκαὶ ἀκίνητον,ἵνα δέχηται καὶἀσφαλίζητοὺς πολίτας.—*τῶν πολιτευομένων*:τῶν πολιτῶν.—*τὸ δὲ πᾶν κῦρος*:τὴνδὲ πᾶσανδύναμιν.—2.*τίτθαις*: εἰς τὰς τροφούς.—*ἐπέτρεπον*: ἀνέθετον.—*ἐπεὶ δὲ ἤδη συνετοὶ γίγνοιντο*: ὅτε δὲ πλ έο ν ἐνόουν, ἤρχοντο δηλ. εἰς ἡλικίαν, καθ' ἣν ᾐσθάνοντο,—*τηνικαῦτα*. τότε,

3. Τὴν μὲν τοίνυν ψυχὴν μουσικῇ τὸ πρῶτον καὶ ἀριθμητικῇ ἀνερρίπιζον καὶ γράμματα γράψασθαι καὶ ἀναγινώσκειν αὐτὰ ἐδίδασκον. Εἶτα δὲ σοφῶν ἀνδρῶν γνώμας καὶ ἔργα παλαιὰ καὶ λόγους ὠφελίμους μανθάνειν προετίθεσαν. Οἱ δέ, ἀκούοντες ἀριστείας τινὰς καὶ πράξεις ἀοιδίμους, ὠρέγοντο κατὰ μικρὸν καὶ εἰς μίμησιν ἐπηγείροντο, ὡς καὶ αὐτοὶ θαυμάζοιντο ὑπὸ τῶν ὕστερον.

4. Εἶτα δὲ νόμους τε τοὺς κοινοὺς ἐξεδίδασκον, οἳ δημοσίᾳ πᾶσι προὔκειντο ἀναγινώσκειν μεγάλοις γράμμασιν ἀναγεγραμμένοι κελεύοντες ἅ τε χρὴ ποιεῖν καὶ ὧν ἀπέχεσθαι. Συνόντες δ' ἀγαθοῖς ἀνδράσι, τὰ δέοντα λέγειν ἐξεμάνθανον καὶ πράττειν τὰ δίκαια καὶ μὴ ἐφίεσθαι τῶν αἰσχρῶν· καὶ ὀρέγεσθαι τῶν καλῶν βίαιον δὲ μηδὲν ποιεῖν. Καὶ μέντοι καὶ εἰς τὸ θέατρον συνιόντες δημοσίᾳ ἐθεῶντο ἀρετάς τε ἀνδρῶν παλαιῶν καὶ κακίας, ὡς τῶν μὲν ἀποτρέποιντο, ἐπ' ἐκεῖνα δὲ σπεύδοιεν.

5. Τὰ δὲ δὴ σώματα ὧδε κατεγύμναζον. Ἀποδύσαντες αὐτὰ πρῶτον μὲν εἴθιζον πρὸς τὸν ἀέρα συνοικειοῦντες αὐτὰ ταῖς ὥραις ἑκάσταις, ὡς μήτε θάλπος δυσχεραίνειν μήτε πρὸς τὸ κρύος ἀπαγορεύειν, ἔπειτα δὲ ἔχριον ἐλαίῳ, ὡς εὐτονώτερα γίγνοιτο. Τοὐντεῦθεν ποικίλα τὰ γυμνάσια ἐπινοήσαντες καὶ διδασκάλους ἑκάστων ἐπιστήσαντες τὸν μέν τινα πυκτεύειν τὸν δὲ παγκρατιάζειν ἐδίδασκον, ὡς τοὺς πόνους καρτερεῖν ἐθίζοιντο καὶ καρτερώτερα τὰ σώματα γίγνοιτο αὐτοῖς διαπονούμενα.

6. Ἐκ τῶν γυμνασίων τοίνυν τούτων ὑπέρυθροι ὑπὸ τοῦ ἡλίου καὶ

---

3. *ἀνερρίπιζον*: ἐξῆπτον, διήγειρον. 4. *ἐξεδίδασκον*: καλῶς ἐδίδασκον.—*Συνόντες*: συναναστρεφόμενοι.—*ἐξεμάνθανον*: καλῶς ἐμάνθανον.—*ἐφίεσθαι*: ἐπιθυμεῖν.—*ἐπ' ἐκεῖνα*: ἐπὶ τὰς ἀρετάς.—5. *ὧδε*: κατὰ τὸν ἑξῆς τρόπον.— *συνοικειοῦντες...ταῖς ὥραις*: ἐξοικειοῦντες (αὐτὰ) πρὸς τὰς διαφόρους ὥρας τοῦ ἔτους.—*μήτε θάλπος δυσχεραίνειν*: μήτε εἰς τὴν ζέστην νὰ δυσαρεστῶνται, νὰ θεωρῶσιν ἀνιαράν.—*ἀπαγορεύειν*: νὰ ἀποκάμνωσι, νὰ μὴ ἀντέχωσιν.—*εὐτονώτερα*: νευρωδέστερα. —*ἐπιστήσαντες*: διορίσαντες.—*πυκτεύειν*: νὰ ἀγωνίζηται πυγμῇ·—*παγκρατιάζειν*: νὰ ἀγωνίζηται τὸν ἀγῶνα τὸν λεγόμενον *παγκράτιον*, ὅστις συνέκειτο ἐκ πυγμῆς καὶ πάλης ὁμοῦ, ἦτο δὲ ὁ δυσχερέστατος καὶ ἐπικινδυνότατος τῶν ἀγώνων.— *ὡς*: ἵνα.=*διαπονούμενα*: ἀσκούμενα εἰς τοὺς πόνους.—6. *ἐπὶ μήκιστον*: ἐπὶ μακρότατον χρόνον.—*διαρκοῦντες*: ἀντέχοντες.

ἀρρενωποὶ ἦσαν εὐεξίας ἀπολαύοντες καὶ ὑγιαίνοντες καὶ ἐπὶ μήκιστον ἐν τοῖς καμάτοις διαρκοῦντες καὶ ἐν τοῖς πολέμοις φόβον τοῖς ἐναντίοις ἐμβάλλοντες καὶ τοὺς πόνους σφόδρ' ἀνεχόμενοι.

7. Καὶ μὴν καὶ δρομικοὶ εἶναι ἠσκοῦντο καὶ περὶ ἀκοντίου βολῆς ἡμιλλῶντο.

8. Ἔτι δ' ὀρτύγων καὶ ἀλεκτρυόνων ἀγῶνες παρ' αὐτοῖς ἦσαν καὶ νόμῳ προσετέτακτο πᾶσι τοῖς ἐν ἡλικίᾳ παρεῖναι καὶ ὁρᾶν τὰ ὄρνεα διαπυκτεύοντα μέχρι τῆς ἐσχάτης ἀπαγορεύσεως. Ὁρώντων δὲ ταῦτα ὁρμή τις ὑπεδύετο ταῖς ψυχαῖς εἰς τοὺς κινδύνους, ὡς μὴ ἀγενέστεροι καὶ ἀτολμότεροι φαίνοιντο τῶν ἀλεκτρυόνων μηδὲ προαπαγορεύοιεν ὑπὸ τραυμάτων ἢ καμάτων.

9. Τοιαῦτα τοίνυν τοὺς νέους ἀσκοῦντες ᾤοντο φύλακας τῆς πόλεως ἀγαθοὺς ἔσεσθαι καὶ ἐν ἐλευθερίᾳ βιώσεσθαι κρατοῦντας μὲν τῶν δυσμενῶν, εἰ ἐπίοιεν, φοβεροὺς δὲ τοῖς περιοίκοις ὄντας.

10. Ἐν εἰρήνῃ δ' ὁπλοφορεῖν ἀεὶ περιττὸν ᾤοντο εἶναι καὶ πρόστιμόν γε αὐτοῖς ἦν ὅστις ἐν ἄστει σιδηροφοροίη μηδὲν δέον, ἢ ὅπλα ἐξενέγκοι εἰς τὸ δημόσιον.

11. Ἐν εἰρήνῃ τε αὖ περὶ οὐδὲν τῶν αἰσχρῶν ἐφιλοτιμοῦντο, οὐδ' ὑπ' ἀργίας εἰς ὕβριν ἐτρέποντο, ἀλλὰ περὶ τὰ τοιαῦτα διέτριβον καὶ ἄσχολοι ἦσαν ἐν αὐτοῖς. Καὶ τοῦτ' ἐστὶ τὸ κοινὸν ἀγαθὸν καὶ ἡ ἄκρα πόλεως εὐδαιμονία, ὁπότ' ἔς τε εἰρήνην καὶ ἐς πόλεμον τὰ ἄριστα παρεσκευασμένη φαίνοιτο ἡ νεότης.

## 4ον. **Τὰ παλαιὰ τῶν Λακεδαιμονίων ἐπιτηδεύματα.**

### 1. Παράδειγμα Λυκούργου.

Λυκοῦργος ὁ νομοθέτης, βουλόμενος ἐκ τῆς προϋπαρχούσης διαίτης Λακεδαιμονίους εἰς σωφρονεστέραν βίου τάξιν μετάγειν καὶ καλοκαγαθικοὺς ἀπεργάζεσθαι (ἁβροδίαιτοι γὰρ ἦσαν), δύο σκύλακας ἀνε-

7. *δρομικοί*: ταχεῖς εἰς τὸν δρόμον.—8 *ἀπαγορεύσεως*: ἐξαντλήσεως τῶν δυνάμεών των.— *ὑπεδύετο*: ἀνεπαισθήτως εἰσέδυεν.—9. *τῶν δυσμενῶν*: τῶν ἐχθρῶν. —*εἰ ἐπίοιεν*: ἐὰν ἤθελον ἐπέλθει.—10. *μηδὲν δέον*: ἄνευ ἀνάγκης.—11. *ἄσχολοι ἦσαν* : ἠσχολοῦντο.

1. *καλοκαγαθικούς*: καλοὺς καὶ ἀγαθούς, γενναίους, τελείους ἄνδρας—; *ἀπεργάζεσθαι* : νὰ καταστήσῃ.—*ἁβροδίαιτοι*: τρυφηλοί.—*περὶ λιχνείας*: εἰς τὰ λιχνεύ-

θρεψε ταὐτοῦ πατρὸς καὶ μητρὸς γενομένους· καὶ τὸν μὲν εἴθισε περὶ λιχνείας οἴκοι ἐάσας· τὸν δὲ ἐπαγόμενος ἤσκησε περὶ κυνηγέσια. Ἔπειτα ἀγαγὼν εἰς τὴν ἐκκλησίαν ἔθηκεν ἀκάνθας καὶ λιχνείας τινάς, ἀφῆκε δὲ καὶ λαγών· ἑκατέρου δὲ ἐπὶ τὰ συνήθη ὁρμήσαντος καὶ θατέρου τὸν λαγὼν χειρωσαμένου, εἶπεν· «ὁρᾶτε, ὦ πολῖται, ὅτι ταὐτοῦ γένους ὑπάρχοντος ἐν τῇ τοῦ βίου ἀγωγῇ, παρὰ πολὺ ἀλλήλων διάφοροι ἀπέβησαν; Οὐκοῦν καὶ ἡμᾶς, ὦ πολῖται, οὐδὲν ἡ παρὰ τοῖς πολλοῖς θαυμαζομένη εὐγένεια καὶ τὸ ἀφ' Ἡρακλέους εἶναι ὀνίνησιν, εἰ μὴ πράττομεν δι' ἃ ἐκεῖνος ἁπάντων ἀνθρώπων ἐπιδοξότερος καὶ εὐγενέστερος ἐφάνη, ἀσκούμενοι καὶ μανθάνοντες καλὰ δι' ὅλου τοῦ βίου».

## 2. Διανομὴ τῆς γῆς.

Ἀναδασμὸν δὲ τῆς γῆς ποιήσας καὶ ἅπασιν ἴσον κλῆρον τοῖς πολίταις νείμας, λέγεται ὕστερόν ποτε χρόνῳ τὴν χώραν διερχόμενος ἐξ ἀποδημίας ἄρτι τεθερισμένην ἰδὼν τοὺς σωροὺς κειμένους παρ' ἀλλήλους καὶ ὁμαλούς ἡσθῆναι καὶ μειδιάσαντα εἰπεῖν πρὸς τοὺς παρόντας, ὡς «ἡ Λακωνικὴ φαίνεται πᾶσα πολλῶν ἀδελφῶν εἶναι νεωστὶ νενεμημένων».

## 3. Συσσίτια.

Διανοηθεὶς δὲ τὸν ζῆλον ἀφελέσθαι τοῦ πλούτου τὰ συσσίτια εἰσηγήσατο, ἐν οἷς ἰσομοιρίᾳ τῆς τροφῆς καὶ πόσεως ἦν καὶ μήτε πόσει τινὶ ἢ βρώσει μηδὲ στρωμνῇ ἢ σκεύεσιν ἢ ἄλλῳ τινὶ τὸ σύνολον πλέον εἶχεν ὁ πλούσιος τοῦ πένητος.

Συνήρχοντο δὲ ἀνὰ πεντεκαίδεκα καὶ βραχὺ τούτων ἐλάττους ἢ πλείους. Εἰς δὲ τὰ συσσίτια καὶ παῖδες ἐφοίτων ὥσπερ εἰς διδασκαλεῖα σωφροσύνης ἀγόμενοι καὶ λόγων ἠκροῶντο καὶ παίζειν εἰθίζοντο καὶ σκώπτειν ἄνευ βωμολοχίας καὶ σκωπτόμενοι μὴ δυσχεραίνειν. Σφόδρα γὰρ ἐδόκει καὶ τοῦτο Λακωνικὸν εἶναι, σκώμματος ἀνέχεσθαι.

---

ματα, ἐν ταῖς λιχουδιαῖς.—*ἐπαγόμενος*: παραλαμβάνων μεθ' ἑαυτοῦ.—*χειρωσαμένου*: συλλαβόντος.-*ὑπάρχοντες*: εἰ καὶ ὑπάρχουσι.-*καὶ τὸ ἀφ' Ἡρακλέους εἶναι*: καὶ ἡ ἀπὸ τοῦ Ἡρακλέους καταγωγή.-*ὀνίνησιν*: ὠφελεῖ.-*πράττομεν*: ἐκεῖνα, δι' ἅ.

2. *Ἀναδασμόν*: διανομὴν ἐκ νέου-*ὁμαλούς*: ἴσους.—*ἡσθῆναι*: ὅτι ηὐχαριστήθη.—*νεωστὶ νενεμημένων*: οἵτινες πρὸ ὀλίγου διένειμαν αὐτήν, δηλ. τὴν Λακωνικήν.—*εἰσηγήσατο* εἰσήγαγε.—*πόσει*: κατὰ τὴν πόσιν.—*βραχὺ ἐλάττους*: ὀλίγον ὀλιγώτεροι.—*μὴ δυσχεραίνειν*: νὰ μὴ ὀργίζωνται.—*μὴ δεῖσθαι*: νὰ μὴ ἔχωσιν ἀνάγκην.

Τῶν δὲ εἰσιόντων εἰς τὰ συσσίτια ἑκάστῳ δεικνύων ὁ πρεσβύτατος τὰς θύρας «διὰ τούτων» φησὶν «οὐδεὶς ἐξέρχεται λόγος».

Τῶν δὲ ὄψων εὐδοκίμει μάλιστα παρ' αὐτοῖς ὁ μέλας ζωμός, ὥστε μηδὲ κρεαδίου δεῖσθαι τοὺς πρεσβυτέρους, ἀλλὰ παραχωρεῖν τοῖς νεανίσκοις, αὐτοὺς δὲ ζωμοῦ ἑστιᾶσθαι.

Πιόντες δ' οἱ Λάκωνες ἐν τοῖς συσσιτίοις μετρίως ἀπίασι δίχα λαμπάδος· οὐ γὰρ ἔξεστι πρὸς φῶς βαδίζειν οὔτε ταύτην οὔτε ἄλλην ὁδόν, ὅπως ἐθίζωνται σκότους καὶ νυκτὸς εὐθαρσῶς καὶ ἀδεῶς ὁδεύειν.

## 4. Παίδευσις Λακεδαιμονίων.

Τὸ γεννηθὲν τέκνον οὐκ ἦν κύριος ὁ γεννήσας τρέφειν, ἀλλ' ἔφερε λαβὼν εἰς τόπον τινὰ *λέσχην* καλούμενον· ἐν ᾧ καθήμενοι οἱ πρεσβύτατοι καταμαθόντες τὸ παιδάριον, εἰ μὲν εὐπαγὲς εἴη καὶ ῥωμαλέον, τρέφειν ἐκέλευον, εἰ δὲ ἀγεννὲς καὶ ἄμορφον, ἀπέπεμπον εἰς τὰς λεγομένας *Ἀποθέτας*, παρὰ Ταΰγετον, βαραθρώδη τόπον, οἰόμενοι οὔτε αὐτῷ ζῆν ἄμεινον οὔτε τῇ πόλει.

Πάντες δὲ ἑπταετεῖς γενόμενοι εἰς *ἀγέλας* κατελοχίζοντο καὶ σύντροφοι ἐγίγνοντο καὶ μετ' ἀλλήλων εἰθίζοντο συμπαίζειν καὶ συσχολάζειν. Ἄρχων δὲ τῆς ἀγέλης προΐστατο ὁ τῷ φρονεῖν διαφέρων καὶ θυμοειδέστατος ἐν τῷ μάχεσθαι· καὶ πρὸς τοῦτον ἀφεώρων καὶ προστάττοντος ἠκροῶντο καὶ κολάζοντος ἐκαρτέρουν. Ἐπεσκόπουν δὲ οἱ πρεσβύτεροι παίζοντας αὐτοὺς καὶ ἐμάνθανον, ὁποῖός ἐστι τὴν φύσιν ἕκαστος αὐτῶν πρὸς τὸ τολμᾶν.

Τῆς ἡλικίας δὲ προερχομένης ἐπέτεινον αὐτῶν τὴν ἄσκησιν ἐν χρῷ τε κείροντες καὶ βαδίζειν ἀνυποδήτους παίζειν τε γυμνοὺς ὡς τὰ πολλὰ συνεθίζοντες.

Γενόμενοι δὲ δωδεκαετεῖς διετέλουν ἤδη ἄνευ χιτῶνος, ἓν ἱμάτιον εἰς τὸν ἐνιαυτὸν λαμβάνοντες.

---

4. *καταμαθόντες*: ἐξετάσαντες καλῶς.—*εὐπαγὲς*: καλοκαμωμένο· γερό.—*ἐκέλευον*: τὸν πατέρα.—*ἀγεννές*: ἐνταῦθα=καχεκτικόν.—*εἰς ἀγέλας κατελοχίζοντο*: διῃροῦντο, κατετάττοντο εἰς λόχους.—*μετ' ἀλλήλων συσχολάζειν*: νὰ συνδιατρίβωσι, νὰ διάγωσι μετ' ἀλλήλων.—*ὁ τῷ φρονεῖν διαφέρων*: ὁ ὑπερέχων κατὰ τὴν φρόνησιν.—*ἀφεώρων*: (οἱ παῖδες) ἀπέβλεπον.—*ἐν χρῷ*: σύρριζα.—*συνεφόρουν*: ἐκουβαλοῦσαν, συνεσώρευον—*διέτεινεν*: ἐξετείνετο, διήρκει.—*περὶ ταῦτα*: εἰς τὴν

Ἐκάθευδον δὲ ὁμοῦ ἐπὶ στιβάδων, ἃς αὐτοὶ συνεφόρουν, τοῦ παρὰ τῷ Εὐρώτᾳ πεφυκότος καλάμου τὰ ἄκρα ταῖς χερσὶν ἄνευ σιδήρου θραύσαντες.

Ἡ δὲ παιδεία μέχρι τῶν ἐνηλίκων διέτεινεν. Οὐδεὶς γὰρ ἦν ἀφειμένος ὡς ἐβούλετο ζῆν, ἀλλ', οἷον ἐν στρατοπέδῳ, τῇ πόλει καὶ δίαιταν ἔχοντες ὡρισμένην καὶ διατριβὴν περὶ τὰ κοινὰ καὶ ὅλως νομίζοντες οὐχ αὑτῶν, ἀλλὰ τῆς πατρίδος εἶναι διετέλουν.

Οἱ μέν γε νεώτεροι τριάκοντα ἐτῶν τὸ παράπαν οὐ κατέβαινον εἰς ἀγοράν. Τοῖς δὲ πρεσβυτέροις αἰσχρὸν ἦν ὁρᾶσθαι περὶ ταῦτα διατρίβουσιν ἀλλὰ μὴ τὸ πλεῖστον τῆς ἡμέρας εἰς τὰ γυμνάσια.

Ἔθος δ' ἦν καὶ τοὺς νεωτέρους ὑπὸ τῶν πρεσβυτέρων ἐρωτᾶσθαι, ποῖ πορεύονται καὶ ἐπὶ τί· καὶ τὸν μὴ ὑποκρινόμενον ἢ προφάσεις πλέκοντα ἐπιπλήττειν· ὁ δὲ μὴ ἐπιπλήττων παρόντος αὐτοῦ ἁμαρτάνοντα ἔνοχος ἦν τῷ ἴσῳ ἐπιτιμίῳ, ὥσπερ καὶ ὁ ἁμαρτών· καὶ ὁ δυσχεραίνων δέ, εἰ ἐπιτιμῷτο, ἐν μεγάλῳ ὀνείδει ἦν.

Καὶ τοὺς νέους δὲ οὐ μόνον τοὺς ἰδίους αἰδεῖσθαι πατέρας καὶ ὑπηκόους τούτοις εἶναι εἴθιζον, ἀλλὰ πάντας τοὺς πρεσβυτέρους ἐντρέπεσθαι καὶ ὁδῶν ὑποχωροῦντας καὶ καθέδρας ὑπεξισταμένους καὶ παρόντων ἡσυχάζοντας.

Ἐσπούδαζον δὲ καὶ περὶ τὰ μέλη καὶ τὰς ᾠδάς· τριῶν δὲ χορῶν ὄντων κατὰ τὰς τρεῖς ἡλικίας καὶ συνισταμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων ἀρχόμενος ᾖδεν.

«ἄμμες ποτ' ἦμες ἄλκιμοι νεανίαι»·

εἶτα ὁ τῶν ἀκμαζόντων ἀνδρῶν ἔλεγεν ἀμειβόμενος·

«ἄμμες δε γ' ἐσμέν· αἰ δὲ λῇς, αὐγάζεο»·

ὁ δὲ τρίτος ὁ τῶν παίδων·

«ἄμμες δέ γ' ἐσσόμεθα πολλῷ κάρρονες»,

Ἀποδημεῖν δὲ οὐκ ἐξῆν αὐτοῖς, ἵνα μὴ ξενικῶν ἐθῶν καὶ βίων ἀπαι-

---

ἀγοράν.—*ὁ δυσχεραίνων*: ὁ ἀγανακτῶν.—*εἰ ἐπιτιμῷτο*: ἐὰν ἐπεπλήττετο.—*καὶ καθέδρας ὑπεξισταμένους*: καὶ παραχωροῦντες κάθισμα.—*παρόντων*: πρεσβυτέρων.—*τρεῖς ἡλικίας*: τὴν παιδικήν, τὴν ἀνδρικὴν καὶ τὴν πρεσβυτικήν—*ἄμμες*: ἡμεῖς.—*ἦμες*: εἴμεθα—*ἄλκιμοι* γενναῖοι.—*ἀμειβόμενος*: διαδεχόμενος.—*αἰ*: ἐὰν.—*λῇς*: θέλῃς.—*αὐγάζεο*: ὅρα.—*κάρρονες* κρείττονες, γενναιότεροι.—*φοινικίσιν*: χιτῶνα κόκκινον.—*ἡ χρόα*: τὸ χρῶμα.—*τοῖς ἀπείροις*: εἰς τοὺς μὴ ἔχοντας πεῖραν.

δεύτων μετέχωσιν. Ἐν δὲ τοῖς πολέμοις φοινικίσιν ἐχρῶντο· ἅμα μὲν γὰρ ἡ χρόα ἐδόκει αὐτοῖς ἀνδρικὴ εἶναι, ἅμα δὲ τὸ αἱματῶδες τοῦ χρώματος πλείονα τοῖς ἀπείροις φόβον παρεῖχεν.

## 5ον. **Ζῴων ἰδιότητες.**

### 1. Μύες

Μαντικώτατα τῶν ζῴων εἰσὶ μύες· γηρώσης γὰρ οἰκίας ἤδη καὶ μελλούσης κατολισθαίνειν, αἰσθάνονται πρῶτοι καὶ ἀπολιπόντες τὰς μυωπίας τὰς αὑτῶν καὶ τὰς ἐξ ἀρχῆς διατριβὰς ἢ ποδῶν ἔχουσιν ἀποδιδράσκουσι καὶ μετοικίζονται.

### 2. Μύρμηκες.

Ἔχουσι δὲ καὶ οἱ μύρμηκες μαντικῆς τινα αἴσθησιν. Ὅταν γὰρ μέλλῃ λιμὸς ἔσεσθαι, δεινῶς εἰσι φιλόπονοι πρὸς τὸ θησαυρίσαι καὶ ἑαυτοῖς ἀποταμιεύεσθαι τοὺς πυροὺς καὶ τὰ λοιπὰ τῶν σπερμάτων, ὅσα μυρμήκων δεῖπνόν ἐστιν.

### 3. Λέων.

Ὁ λέων ἐν τῇ βρώσει μὲν χαλεπώτατός ἐστι, μὴ πεινῶν δὲ καὶ βεβρωκώς, πρᾳότατος. Ἔστι δὲ πρὸς τὰ σύντροφα καὶ συνήθη σφόδρα φιλοπαίγμων καὶ στερκτικός. Βαδίζει δὲ συνεστραμμένοις τοῖς ποσὶν ἐντὸς ἀποκρύπτων τοὺς ὄνυχας, ἵνα μὴ τριβόμενοι τὴν ἀκμὴν ἀπαμβλύνωσι, μήτε καταλίπωσιν εὐπορίαν τοῖς στιβεύουσιν· ὅθεν οὐ ῥᾳδίως εὑρίσκεται ὄνυχος λεοντείου σημεῖον, ἀλλὰ μικροῖς καὶ τυφλοῖς ἴχνεσιν ἐντυγχάνοντες ἀποπλανῶνται καὶ διαμαρτάνουσιν.

---

1. *κατολισθαίνειν:* νὰ καταπέσῃ.—*μυωπία:* ποντικοφωλιά.—*τὰς ἐξ ἀρχῆς διατριβάς:* τοὺς τόπους, ἔνθα ἐξ ἀρχῆς κατῴκουν.—*ἤ...ἔχουσι:* μὲ πᾶσαν τὴν ταχύτητα τῶν ποδῶν των.—2. *πυρούς* : σῖτον.—3. *χαλεπώτατος* : ἀγριώτατος.—*συνήθη:* οἰκεῖα.— *στερκτικός:* ἐπιρρεπὴς εἰς τὴν ἀγάπην.—*ἀκμήν:* τὴν ὀξύτητα—*ἀπαμβλύνωσι:* στομώνωσιν, ἀφαιρῶσι τὴν ὀξύτητα.—*εὐπορίαν:* εὐκολίαν περὶ τὴν ἀνεύρεσιν τῶν ἰχνῶν.—*τοῖς στιβεύουσιν:* εἰς τοὺς ἰχνευτάς.—*ἐντυγχάνοντες:* οἱ ἰχνευταί.—*διαμαρτάνουσιν:* ἀποτυγχάνουσι(περὶ τὴν εὕρεσιν τῶν λεόντων).-*πτήσ-*

Ἐν δὲ ταῖς θήραις ὁρώμενος μὲν οὐδέποτε φεύγει οὐδὲ πτήσσει, ἀλλ' ἐὰν καὶ διὰ πλῆθος ἀναγκασθῇ τῶν θηρευόντων ὑπαγαγεῖν, βάδην ὑποχωρεῖ κατὰ βραχὺ ἐπιστρεφόμενος. Πρὸς δὲ τὰς πόλεις ἔρχεται μάλιστα καὶ τοὺς ἀνθρώπους ἀδικεῖ, ὅταν γένηται πρεσβύτης διά τε τὸ γῆρας ἀδύνατος θηρεύειν ὢν καὶ διὰ τὸ πεπονηκέναι τοὺς ὀδόντας. Ἔτη δὲ ζῇ πολλά.

## 4. Δελφίς.

Ὅταν δικτύῳ περιπέσῃ δελφίς, τὰ μὲν πρῶτα ἡσυχάζει καὶ φυγῆς οὐδέν τι μέμνηται εὐωχεῖται δὲ τῶν συνεαλωκότων ἰχθύων καὶ ὥσπερ ἐπὶ δαῖτα ἥκων κλητὸς ἐμφορεῖται αὐτῶν. Ὅταν δὲ αἴσθηται ἐπισυρόμενος ὅτι γίνεται τῆς γῆς πλησίον, ἐνταῦθά τοι τὸ δίκτυον διατραγὼν ἀπαλλάττεται καὶ ἔστιν ἐλεύθερος.

## 5. Ἄρκτος.

Ἄρκτος ἐὰν διώκηται μετὰ τῶν αὐτῆς σκυλακίων, προωθεῖ αὐτὰ ἐς ὅσον δύναται· ὅταν συνίδῃ ὅτι ἀπεῖπε, τὸ μὲν κατὰ τοῦ νώτου φέρει, τὸ δὲ κατὰ τοῦ στόματος, κα δένδρου λαβομένη ἀναπηδᾷ· καὶ τὸ μὲν ἔχεται τοῦ νώτου τοῖς ὄνυξι, τὸ δὲ ἐν τοῖς ὀδοῦσι φέρεται ἀναθεούσης αὐτῆς.

## 6. Σηπία.

Τὴν σηπίαν ὅταν μέλλωσιν αἱρεῖν οἱ τούτων ἀγαθοὶ θηραταί, συνεῖσα ἐκείνη παρῆκε τὸ ἐξ ἑαυτῆς ὑπόσφαγμα καὶ καταχεῖται ἑαυτῆς καὶ περιλαμβάνει καὶ ἀφανίζει πᾶσαν καὶ κλέπτεται τὴν ὄψιν ὁ ἁλιεύς· καὶ ἡ μὲν ἐν ὀφθαλμοῖς ἐστιν, ὁ δὲ οὐχ ὁρᾷ.

---

σει· φοβεῖται, ζαρώνει.—*ὑπαγαγεῖν*· νὰ ὑποχωρήσῃ.—*κατὰ βραχύ*· κατ' ὀλίγον συχνά. 4. *Τῶν συνεαλωκότων*· τῶν μετ' αὐτοῦ συλληφθέντων.-*ἐπὶ δαῖτα*· εἰς συμπόσιον.—*ἐμφορεῖται αὐτῶν*· πληροῦται, χορταίνει ἐξ αὐτῶν.—*διατραγών*· μὲ τοὺς ὀδόντας καταφαγών.—5. *μετὰ τῶν σκυλακίων*· μετὰ τῶν νεογνῶν της.—*ἀπεῖπε*· ἀπέκαμον, ἐκουράσθησαν.—*ἔχεται τοῦ νώτου*· κρατεῖται ἐκ τοῦ νώτου.-*ἀναθεούσης*· ὅταν ἀνατρέχῃ, ἀναπηδᾷ εἰς τὸ δένδρον.-6. *συνεῖσα*· ἐννοήσασα.-*παρῆκε*· συνηθίζει νὰ ῥίπτῃ.—*τὸ ὑπόσφαγμα*· τὸ μελάνι της.—*καὶ καταχεῖται*· καὶ χύνει αὐτὸ καθ' ἑαυτῆς καὶ περιτριγυρίζει ἑαυτὴν ὅλην καὶ καθιστᾷ ἀφανῆ.- *κλέπτεται*. κρύπτεται ἐκ τῆς ὄψεως τοῦ ἁλιέως.—*ἐν ὀφθαλμοῖς ἐστιν*· ἐνώπιον τῶν ὀφθαλμῶν τοῦ ἁλιέως εἶνε.

## 7. Ἀλώπηξ.

Οἱ Θρᾷκες, ὅταν παγέντα ποταμὸν διαβαίνειν ἐπιχειρῶσιν, ἀλώπεκα ποιοῦνται γνώμονα τῆς τοῦ πάγου στερρότητος· ἡσυχῇ γὰρ ὑπάγουσα παραβάλλει τὸ οὖς· κἂν μὲν αἴσθηται ψόφῳ τοῦ ῥεύματος ἐγγὺς ὑποφερομένου, τεκμαιρομένη μὴ γεγονέναι διὰ βάθους τὴν πῆξιν ἀλλὰ λεπτὴν καὶ ἀβέβαιον, ἵσταται, κἂν ἐᾷ τις, ἐπανέρχεται· τῷ δὲ μὴ ψοφεῖν θαρροῦσα διῆλθε.

## 8. Χελιδών.

Ἡ Χελιδὼν ὅτε εὐπορoίη πηλοῦ, τοῖς ὄνυξι φέρει καὶ συμπλάττει τὴν καλιάν· εἰ δὲ ἀπορία εἴη, ἑαυτὴν βρέχει καὶ ἐς κόνιν ἐμπεσοῦσα φύρει τὰ πτερὰ καὶ τοῦ πηλοῦ περιπαγέντος ἐντεῦθεν, ἀποψήχουσα τῷ ῥάμφει τὴν προκειμένην οἰκοδομίαν χειρουργεῖ. Ἁπαλά τε ὄντα τὰ νεόττια καὶ τῶν πτίλων γυμνὰ οἶδε καλῶς, ἐπὶ ψιλῶν καρφῶν εἰ ἀναπαύοιτο, ὅτι κολασθήσεται ἀλγοῦντα. Οὐκοῦν ἐπὶ τὰ νῶτα τῶν προβάτων καθίζει καὶ ἀποσπᾷ τοῦ μαλλοῦ καὶ ἐντεῦθεν τοῖς ἑαυτοῖς βρέφεσι τὸ λέχος μαλακὸν ἔστρωσεν.

## 9. Μέλισσαι.

Οἱ βασιλεῖς τῶν μελιττῶν οὐ πέτονται ἔξω, ἐὰν μὴ μετὰ τοῦ ὅλου ἑσμοῦ, οὔτ' ἐπὶ βοσκὴν οὔτ' ἄλλως. Νομὴ δὲ ταῖς μελίτταις τὸ θύμον. Ὅταν δὲ ἄνεμος ᾖ μέγας, φέρουσι λίθον ἐφ' ἑαυταῖς ἕρμα πρὸ τὸ πνεῦμα. Φασὶ δὲ καὶ ἂν ἀποπλανηθῇ ὁ ἑσμὸς ἀνιχνευούσας

---

7. *γνώμονα:* κριτήν.—*αἴσθηται:* ἐννοήσῃ.—*ψόφῳ:* διὰ τοῦ θορύβου.—*ἐγγὺς ὑποφερομένου:* ὅτι (τὸ ῥεῦμα)· πλησίον (τῆς ἐπιφανείας) ὑποφέρεται.—*ἀβέβαιον:* ἀσταθῆ, ἐπισφαλῆ.-*τῷ δὲ μὴ ψοφεῖν:* ἐκ τοῦ ὅτι δὲ δὲν θορυβεῖ τὸ ὕδωρ.-*διῆλθε* συνηθίζει νὰ διέρχεται.—8.*ὅτε εὐπορoίη:* ὁσάκις ἔχει εὐπορίαν.-*καλιάν*·φωλεάν.—*φύρει:*μειγνύουσα τὸ ὕδωρ μετὰ τῆς κόνεως κατασκευάζει πηλόν.·*ἀποψήχουσα:* ἀποτρίβουσα τὸν πηλὸν ἀπὸ τῶν πτερῶν.—*ἐπὶ ψιλῶν καρφῶν*· ἐπάνω εἰς γυμνὰ κάρφη· χωρὶς δηλ. νὰ ὑπάρχῃ ἐπ' αὐτῶν ἄλλη τις ὕλη μαλακή.—*κολασθήσεται:* θὰ βασανισθοῦν, θὰ ταλαιπωρηθοῦν.-*λέχος:* τὴν κοίτην.—*ἔστρωσε:* συνηθίζει νὰ στρώνῃ.—9.*ἔξω:* δηλ. τῆς κυψέλης.- *ἑσμός:* τὸ σμῆνος τῶν μελισσῶν, τὸ μελίσσι.-*θύμον:* θυμάρι.– *ἕρμα πρὸς τὸ πνεῦμα*· ὡς σαβοῦραν ἐναντίον τοῦ ἀνέμου.—*ἀνι-*

μεταθεῖν, ἕως ἂν εὕρωσι τὸν ἡγεμόνα τῇ ὀσμῇ. Λέγεται δὲ καὶ φέρεσθαι αὐτὸν ὑπὸ τοῦ ἑσμοῦ, ὅταν πέτεσθαι μὴ δύνηται.

Εἰσὶ δὲ τεταγμέναι ἐφ' ἕκαστον τῶν ἔργων, οἷον αἱ μὲν ἀνθοφοροῦσιν, αἱ δ' ὑδροφοροῦσιν, αἱ δὲ λεαίνουσι καὶ κατορθοῦσι τὰ κηρία. Ὁ δὲ ἡγεμὼν οὐκ ἐᾷ ἀργοὺς τὰς μελίττας εἶναι, ἀλλ' ἐκπέμπει εἰς τὸ ἔργον καί, ἃ ἂν αὐτῶν ἑκάστη εἰσφέρῃ, οἶδέ τε καὶ δέχεται καὶ σῴζει ταῦτα, ἔστ' ἂν δέῃ χρῆσθαι. Ἐπειδὰν δὲ ἡ ὥρα τοῦ χρῆσθαι ἥκῃ, διανέμει τὸ δίκαιον ἑκάστῃ. Χρόνος δ' αὐταῖς οὐκ ἔστιν εἰθισμένος ἀφ' ὅτου ἄρχονται ἐργάζεσθαι· ἀλλ' ἐὰν τὰ ἐπιτήδεια ἔχωσι καὶ εὖ διάγωσι, μᾶλλον ἐν ὥρᾳ τοῦ ἔτους ἐγχειροῦσι τῇ ἐργασίᾳ, καὶ ὅταν εὐδίᾳ ᾖ, συνεχῶς ἐργάζονται. Ὅταν δὲ τὰ κηρία ἐξαιρῶσιν οἱ μελιττουργοί, ἀπολείπουσιν αὐταῖς τροφὴν διὰ χειμῶνος, ἢ ἐὰν μὲν διαρκὴς ᾖ, σῴζεται τὸ σμῆνος, εἰ δὲ μή, ἐὰν μὲν χειμὼν ᾖ, αὐτοῦ θνήσκουσιν, εὐδιῶν δ' οὐσῶν, ἐκλείπουσι τὸ σμῆνος. Τροφῇ δὲ χρῶνται μέλιτι καὶ θέρους καὶ χειμῶνος.

Τὰς δ' ἀποθνησκούσας τῶν μελιττῶν ἐκκομίζουσιν αἱ ἄλλαι ἔξω. Καὶ τἆλλα δὲ καθαριώτατόν ἐστι τὸ ζῷον.

## 6ον. Διάφορα περὶ ζῴων διηγήματα.

### 1. Πίστις κυνός.

Πύρρος ὁ βασιλεὺς ὁδεύων ἐνέτυχε κυνὶ φρουροῦντι σῶμα πεφονευμένου καὶ πυθόμενος τρίτην ἡμέραν ἐκείνην ἄσιτον παραμένειν καὶ μὴ ἀπολιπεῖν, τὸν μὲν νεκρὸν ἐκέλευσε θάψαι, τὸν δὲ κύνα μεθ' ἑαυτοῦ κομίζειν· ὀλίγαις δ' ὕστερον ἡμέραις ἐξέτασις ἦν τῶν στρατιωτῶν καὶ πάροδος καθημένου τοῦ βασιλέως καὶ παρῆν ὁ κύων ἡσυχίαν ἔχων· ἐπεὶ δὲ τοὺς φονέας τοῦ δεσπότου παριόντας εἶδεν, ἐξέδραμε μετὰ φωνῆς καὶ θυμοῦ ἐπ' αὐτοὺς καὶ καθυλάκτει πολλάκις μεταστρεφόμενος εἰς τὸν Πύρρον, ὥστε μὴ μόνον ἐκείνῳ δι' ὑποψίας, ἀλλὰ καὶ πᾶσι τοῖς παροῦσι τοὺς ἀνθρώπους γενέσθαι· διὸ συλλη-

---

*χνειούσας*: δηλ. τὰς μελίσσας. — *μεταθεῖν*: τρέχουσιν ὄπισθεν, ἀναζητοῦσιν. — *κατορθοῦσι*: τελειοποιοῦσι. — *ἔστ' ἂν δέῃ χρῆσθαι*: μέχρι τοῦ χρόνου, καθ' ὃν πρέπει νά... — *ἐν ὥρᾳ*: τὸ ἔαρ. — *ἐξαιρῶσιν*: ἀφαιρῶσιν, ἐξάγωσιν. — *διαρκής*: ἐπαρκής.

1. *Πύρρος*: βασιλεὺς τῆς Ἠπείρου. — *ἐνέτυχε*: ἀπήντησε. — *ἐξέτασις*: ἐπιθεώρησις. — *πάροδος*: παρέλασις. — *δι' ὑπ.... γενέσθαι*: οἱ ἄνθρωποι (οἱ φονεῖς) ἐγένοντο ὕποπτοι.

φθέντες εὐθὺς καὶ ἀνακρινόμενοι, μικρῶν τινων τεκμηρίων ἔξωθεν προσγενομένων, ὁμολογήσαντες τὸν φόνον ἐκολάσθησαν.

2. Ἕτερον.

Κολοφώνιος ἀνὴρ παραγίνεται εἰς τὴν Τέων συνωνησόμενός τινα· καὶ γὰρ ἦν ἐμπορικὸς καὶ τὴν ἐκ τῶν ὠνίων καπήλειάν τε καὶ μεταβολὴν πρόσοδον εἶχεν. Ἀργύριον δὲ ἐπήγετο καὶ οἰκέτην καὶ κύνα, ἔφερε δὲ τὸ ἀργύριον ὁ δοῦλος. Ἐπεὶ δὲ πρὸ ὁδοῦ ἦσαν, ὁ οἰκέτης ἐξετράπετο, ἠκολούθησεν δὲ καὶ ὁ κύων. Τὸ τοίνυν φασκώλιον ἀνέπαυσεν ὁ νεανίας καὶ ἀνελέσθαι πάλιν οὐκ ἐνενόησεν, ἀλλὰ ᾤχετο ἀπιών· ὁ δὲ κύων ἑαυτὸν κατακλίνας ἐπὶ τῷ ἀργυρίῳ ἔμενεν ἥσυχος. Ἐλθόντες δὲ εἰς τὴν Τέων ὅ,τε δεσπότης καὶ οἰκέτης εἶτα μέντοι ἄπρακτοι, ἐπανῆλθον, ὅτου ὠνήσωνται οὐκ ἔχοντες· τὴν αὐτήν γε μὴν ἐκτρέπονται πάλιν, ἔνθα ὁ οἰκέτης ἀπέλιπε τὸ βαλάντιον καὶ καταλαμβάνουσι τὸν σφέτερον κύνα ἐπικείμενον αὐτῷ καὶ μόλις ἐμπνέοντα ὑπὸ τοῦ λιμοῦ. Ὁ δὲ ὡς εἶδε τὸν δεσπότην καὶ τὸν ὁμόδουλον, ἑαυτὸν ἀποκλίνας τοῦ φασκωλίου κατὰ τὸν αὐτὸν χρόνον καὶ τὴν φρουρὰν καὶ τὴν ψυχὴν ἀφῆκεν.

3. Ἕτερον.

Παραρρυεὶς ἄνθρωπος εἰς τὸν νεὼν τοῦ Ἀσκληπιοῦ τὰ εὔογκα τῶν ἀργυρῶν καὶ χρυσῶν ἔλαβεν ἀναθημάτων καὶ λεληθέναι νομίζων ὑπεξῆλθεν, ὁ δὲ φρουρὸς κύων, ὄνομα Κάππαρυς, ἐπεὶ μηδείς, ὑλακτοῦντι, τῶν νεωκόρων ὑπήκουσεν αὐτῷ, φεύγοντα τὸν ἱερόσυλον ἐπεδίωκε· καὶ πρῶτον μὲν βαλλόμενος λίθοις οὐκ ἀπέστη· γενομένης δὲ ἡμέρας, ἐγγὺς οὐ προσιὼν ἀλλ' ἀπ' ὀφθαλμοῦ παραφυλάττων εἵπετο καὶ τροφὴν προβάλλοντος οὐκ ἐλάμβανεν· ἀναπαυομένῳ δὲ παρενυκτέρευε καὶ βαδίζοντος πάλιν ἐπηκολούθει ἀναστάς, τοὺς δ' ἀπαν-

---

2. *Κολοφώνιος*: ἐκ Κολοφῶνος τῆς πόλεως τῆς Μ. Ἀσίας.—*Τέων*: π. τῆς Ἰωνίας.—*συνωνησόμενος*: ἵνα ἀγοράσῃ.—*καὶ τὴν ἐκ τῶν ὠνίων*...: καὶ εἶχε κέρδος δος τὸ ἐκ τῆς τῶν ὠνίων καπηλείας καὶ μεταπωλήσεως —*ἐπήγετο*: ἔφερε μεθ' ἑαυτοῦ.—*ἐξετράπετο*: παρεξέκλινεν ἐκ τῆς ὁδοῦ.— *φασκώλιον*: σάκκος δερμάτινος.—*οὐκ ἐνενόησε*: δὲν ἐσκέφθη.—*ὅτου* ἀντὶ τίνων χρημάτων, μὲ τί χρήματα.—*τὴν αὐτὴν*: ὁδόν.— 3. *παραρρυείς*: λάθρᾳ εἰσελθών.— *τοῦ Ἀσκληπιοῦ*: ἐν Ἀθήναις.— *τὰ εὔογκα*: τὰ εὐβάστακτα διὰ τὸν ὄγκον.—*ἐπεὶ μηδείς*...: ἐπειδὴ οὐδεὶς ἐκ τῶν νεωκόρων ἀκούσας ἦλθε πρὸς αὐτόν.—*ἀπ' ὀφθαλμοῦ*: μακρόθεν: *προβάλλοντος*: δηλ.

τῶντας ὁδοιπόρους ἔσαινεν, ἐκείνῳ δ' ἐφυλάκτει καὶ προσέκειτο· ταῦτα δὲ οἱ διώκοντες πυνθανόμενοι παρὰ τῶν ἀπαντώντων ἅμα καὶ τὸ χρῶμα φραζόντων καὶ τὸ μέγεθος τοῦ κυνὸς προθυμότερον ἐχρήσαντο τῇ διώξει καὶ καταλαβόντες τὸν ἄνθρωπον ἀνήγαγον ἀπὸ Κρομμυῶνος· ὁ δὲ κύων ἀναστρέψας προηγεῖτο γαῦρος καὶ περιχαρής, οἷον ἑαυτοῦ ποιούμενος ἄγραν καὶ θήραμα τὸν ἱερόσυλον. Ἐψηφίσαντο δὲ σῖτον αὐτῷ δημοσίᾳ μετρεῖσθαι καὶ παρεγγυᾶσθαι τοῖς ἱερεῦσιν εἰσαεὶ τὴν ἐπιμέλειαν.

### 4. Εὐφυΐα ἐλεφάντων.

Τρεφομένου κατ' οἰκίαν ἐλέφαντος, ὁ ἐπιστάτης λαβὼν κριθῶν μέτρον ὑφῄρει μέρος ἥμισυ καθ' ἡμέραν· ἐπεὶ δὲ τοῦ δεσπότου παρόντος ποτὲ καὶ θεωμένου πᾶν τὸ μέτρον κατήρασεν, ἐμβλέψας καὶ διαγαγὼν τὴν προβοσκίδα τῶν κριθῶν ἀποδιέστησε καὶ διεχώρισε τὸ μέρος ὡς ἐνῆν λογιώτατα κατειπὼν τοῦ ἐπιστάτου τὴν ἀδικίαν.

Ἄλλος δέ, τοῦ ἐπιστάτου ταῖς κριθαῖς λίθου καὶ γῆν εἰς τὸ μέτρον καταμειγνύοντος, ἑψομένων κρεῶν, δραξάμενος τῆς τέφρας ἐνέβαλεν εἰς τὴν χύτραν.

Ἄλλος δὲ ὑπὸ τῶν παιδαρίων προπηλακισθεὶς τοῖς γραφείοις τὴν προβοσκίδα κεντούντων, ὃν συνέλαβε μετέωρον ἐξάρας, ἐπίδοξος ἦν ἀποτυμπανίσειν· κραυγῆς δὲ τῶν παρόντων γενομένης ἀτρέμα πρὸς τὴν γῆν πάλιν ἀπηρείσατο καὶ παρῆλθε ν ἀρκοῦσαν ἡγούμενος δίκην τῷ τηλικούτῳ φοβηθῆναι.

### 5. Εὐφυΐα μυρμήκων.

Ἔτυχεν ὁ Κλεάνθης καθήμενος καὶ σχολὴν ἄγων. Οὐκοῦν μύρμηκες περὶ τοῖς ποσὶν ἦσαν αὐτῷ πολλοί. Ὁ δὲ ὁρᾷ ἐξ ἀτραποῦ τινος

---

τοῦ κλέπτου.—*προσέκειτο*: ἠνώχλει. *Κρομμυών*: πόλις τῆς Μεγαρίδος.—*οἷον... ποιούμενος*...: τρόπον τινὰ θεωρῶν ἰδικήν του λείαν καὶ κυνήγι τὸν κλέπτην.—*παρεγγυᾶσθαι*: νὰ παραγγέλλωσι, νὰ ἀναθέτωσιν εἰς τοὺς διαδόχους ἱερεῖς.

4. *κατήρασεν*: ἔθεσε, ἔχυσε (ὁ ἐπιστάτης).—*ἐμβλέψας*: ὁ ἐλέφας.—*ὡς ἐνῆν*: ὅσον ἦτο δυνατόν.—*κατειπών*: καταμηνύσας.—*ἑψομένων*: ὅτε ἔβραζε κρέας.—*προπηλακισθείς*: κακοποιηθείς.—*τοῖς γραφείοις*: μὲ ταῖς πένναις.—*ἐπίδοξος ἦν ἀποτυμπανίσειν*: ἐφαίνετο ὅτι ἔμελλε νὰ τὸν φονεύσῃ βροντῶν αὐτὸν κατὰ γῆς.—*ἀτρέμα*: ἡσύχως.—*ἀπηρείσατο*: ἐστήριξε.—*τῷ τηλικούτῳ*: εἰς τὸν ἔχοντα τὴν ἡλικίαν ταύτην (ἐνταῦθα μικράν).—5. *Κλεάνθης*: φιλόσοφος.—*σχολὴν ἄγων*: ἀργῶν.—*αὐτῷ*

ἑτέρας νεκρὸν μύρμηκα μύρμηκας ἄλλους κομίζοντας ἐς οἶκον ἑτέρων καὶ ἑαυτοῖς οὐ συντρόφων καὶ ἐπί γε τῷ χείλει τῆς μυρμηκιᾶς ἑστῶτας αὐτῷ νεκρῷ καὶ ἀνιόντας κάτωθεν ἑτέρους καὶ συνιόντας τοῖς ξένοις ὡς ἐπί τινι εἶτα κατιόντας τοὺς αὐτοὺς καὶ πλεονάκις τοῦτο· καὶ τελευτῶντας σκώληκα οἱονεὶ λύτρα κομίσαι, τοὺς δὲ ἐκεῖνον μὲν λαβεῖν, προέσθαι δὲ ὅνπερ οὖν ἐπήγοντο νεκρόν· καὶ ἐκείνους ὑποδέξασθαι ἀσμένως ὡς υἱὸν κομιζομένους ἢ ἀδελφόν.

## Συναίσθησις ἵππου.

### 6. Βουκεφάλας.

Ὁ Βουκεφάλας γυμνὸς μὲν ὢν παρεῖχεν ἀναβῆναι τῷ ἱπποκόμῳ, κοσμηθεὶς δὲ τοῖς βασιλικοῖς προκοσμίοις καὶ περιδεραίοις οὐδένα προσίετο πλὴν αὐτὸν Ἀλέξανδρον· τοῖς δὲ ἄλλοις, εἰ πειρώμενοι προσίοιεν, ἐναντίος ἐπιτρέχων ἐχρεμέτιζε μέγα καὶ συνήλλετο καὶ κατεπάτει τοὺς μὴ ἀποφεύγειν φθάσαντας.

### 7. Οἰκειότης Παρδάλεως.

Πάρδαλιν ἐκ νηπίου θηρατὴς ἀνὴρ ἡμερώσας εἶχεν, οἷα δήπου φίλην ἀγαπῶν καὶ περιέπων ἰσχυρῶς. Οὐκοῦν ἔριφον αὐτῇ φέρων ζῶντα ἐδίδου τροφὴν ἐν ταὐτῷ καὶ ἡδονήν τινα ἐπινοήσας τῷ θηρίῳ ἐν τῷ διασπᾶν τὸν ἔριφον ἀλλὰ μὴ δοκεῖν ἐσθίειν κενέβρειόν τε καὶ θνησείδιον. Καὶ δὴ κομισθέντος τοῦ ἐρίφου, ἡ δὲ ἐγκρατῶς ἔσχε δεομένη ἀπόσιτος εἶναι διὰ πλησμονήν. Ἔδρασε καὶ τῇ δευτέρᾳ τοῦτο· ἐδεῖτο γὰρ ἔτι ὡς φαρμάκου τοῦ λιμοῦ. Τῆς δὲ τρίτης ἐπιστάσης ἡμέρας, ἐπείνη μὲν καὶ συνήθως ἐπεδείκνυτο τοῦτο τῷ φθέγματι, οὐ μὴν τοῦ ἐρίφου γενομένου δύο ἡμερῶν ἑαυτῇ φίλου ἔτι προσήψατο, ἀλλ' ἐκεῖνον μὲν εἴασεν ἄλλον δὲν ἔλαβεν.

---

*νεκρῷ*: μετ' αὐτοῦ τοῦ νεκροῦ.—*συνιόντας...ἐπί τινι*: συνερχομένους, λαμβάνοντας συνέντευξιν μετὰ τῶν ξένων τρόπον τινὰ περί τινος ὑποθέσεως.-*οἱονεί*: τρόπον τινά.—*τοὺς δέ*: οἱ ξένοι μύρμηκες.—*προέσθαι*: ἀφεῖκαν.— *ὡς κομιζομένους*: ὡς ἐὰν ἐλάμβανον.

6. *Βουκεφάλας*: ἵππος τοῦ Μ. Ἀλεξάνδρου.—*γυμνός*: ἄνευ δηλαδὴ βασιλικῶν προκοσμίων καὶ περιδεραίων.—*προκοσμίοις περιδεραίοις*: ὁ περὶ τὴν κεφαλὴν καὶ τὸν τράχηλον τοῦ ἵππου στολισμός.—*προσίετο*: ἐδέχετο.—*συνήλλετο*: ἐπήδα.— 7. *περιέπων*: περιποιούμενος.—*κενέβρειον*: θνησιμαῖον ψοφίμι.—*ἐγκρατῶς ἔσχε*: ὑπῆρξεν ἐγκρατής, δὲν ἔφαγεν.—*δεομένη ἀπόσιτος εἶναι*: ἔχουσα ἀνάγκην νὰ ἀπόσχῃ τροφῆς.—*διὰ πλησμονήν*: ἐπειδὴ ἦτο πεπληρωμένη, χορτασμένη, *ἐδεῖτο.. τοῦ λιμοῦ*: εἶχεν ἀνάγκην νηστείας.

### 58. Εὐγνωμοσύνη ὄφεως.

Ἐν Πάτραις παῖς δράκοντα μικρὸν ἐπρίατο καὶ ἔτρεφε μετὰ πολλῆς τῆς κομιδῆς. Αὐξηθέντος δὲ αὐτοῦ ἐλάλει πρὸς αὐτὸν ὡς πρὸς ἀκούοντα καὶ ἔπαιζε μετ' αὐτοῦ καὶ συνεκάθευδεν αὐτῷ. Εἰς μέγιστον δὲ μέγεθος ἐλθὼν ὁ δράκων ὑπὸ τῶν πολιτῶν εἰς ἐρημίαν ἀπηλάθη. Ὕστερον δὲ ὁ παῖς, νεανίας γενόμενος, ἀπὸ τινος θέας ἐπανιὼν λησταῖς περιπεσὼν μετὰ τῶν συνηλίκων βοῆς γενομένης ἰδοὺ ὁ δράκων· καὶ τοὺς μὲν διεσκόρπισεν, οὓς δὲ ἀπέκτεινεν, αὐτὸν δὲ περιεσώσατο.

### 9. Εὐγνωμοσύνη ἀετοῦ.

Παῖς ἰσχυρῶς φίλορνις ἀετοῦ νεοττὸν λαβὼν δῶρον ἔτρεφε τροφῇ ποικίλῃ καὶ κηδεμονίαν αὐτῷ προσέφερε πᾶσαν· οὐ γάρ τι που ὡς ἄθυρμα ἐς παιδιὰν ἔτρεφε τὴν ὄρνιν, ἀλλὰ δίκην ἀδελφοῦ νεωτέρου· οὕτως ἄρα ὁ παῖς τοῦ ἀετοῦ προμηθῶς εἶχε. Προϊὼν δὲ ὁ χρόνος ἐς φιλίαν αὐτοὺς ἐξῆψεν ἀλλήλων ἰσχυράν. Συνηνέχθη δὲ καμεῖν τὸ σῶμα τὸν παῖδα καὶ τὸν ἀετὸν παραμένειν καὶ νοσηλεύειν τὸν τροφέα καὶ καθεύδοντος μὲν ἡσυχάζειν, ἐγρηγορότος δὲ παρεστάναι, ἀσιτοῦντος δὲ τροφὴν μὴ προσίεσθαι. Ἐπεὶ δὲ καὶ τὸν βίον ὁ παῖς κατέστρεψεν, ἠκολούθησε καὶ ὁ ἀετὸς μέχρι τοῦ μνήματος· καομένου δέ, ἑαυτὸν ἐς τὴν πυρὰν ἐνέβαλεν.

## 7ον. **Διάφορα διηγήματα.**

### Υἱικὴ εὐσέβεια.

Ὅτε ἑάλω τὸ Ἴλιον, οἰκτείροντες οἱ Ἀχαιοὶ τὰς τῶν ἁλισκομένων τύχας καὶ πάνυ Ἑλληνικῶς τοῦτο ἐκήρυξαν, ἕκαστον τῶν ἐλευ-

---

8. *τῆς κομιδῆς* : ἐπιμελείας.—*εἰς ἐρημίαν ἀπηλάθη* : ἀπεδιώχθη εἰς τὴν ἐρημίαν.—*ἀπό τινος θέας* ἀπό τινος θεάματος, ἀπό τινος πανηγύρεως.—9. *ἰσχυρῶς* : καθ' ὑπερβολήν.—*φίλορνις* : ἀγαπῶν τὰ πτηνά.—*ὡς ἄθυρμα* : ὡς παιγνίδιον.—*προμηθῶς εἶχεν* : ἐφρόντιζε.—*συνηνέχθη* : συνέβη.—*καμεῖν* : νὰ ἀσθενήσῃ.—*καθεύδοντος* : τοῦ παιδός.—*ἀσιτοῦντος δὲ* : τοῦ παιδὸς.—*μὴ προσίεσθαι*: νὰ μὴ δέχηται, νὰ μὴ λαμβάνῃ (ὁ ἀετός).—*καομένου* : τοῦ παιδός.

1. *Οἱ Ἀχαιοί*: οἱ Ἕλληνες.—*πάνυ Ἑλληνικῶς*: ὡς ἁρμόζει εἰς τὴν μεγαλοφυ-

θέρων ἐν ὅ,τι καὶ βούλεται τῶν οἰκείων ἀποφέρειν ἀράμενον. Ὁ οὖν Αἰνείας τοὺς πατρῴους θεοὺς βαστάσας ἔφερεν ὑπεριδὼν τῶν ἄλλων. Ἡσθέντες οὖν ἐπὶ τῇ τοῦ ἀνδρὸς εὐσεβείᾳ οἱ Ἕλληνες καὶ δεύτερον αὐτῷ κτῆμα συνεχώρησαν λαβεῖν· ὁ δὲ τὸν πατέρα, πάνυ σφόδρα γεγηρακότα, ἀναθέμενος τοῖς ὤμοις ἔφερεν. Ὑπερεκπλαγέντες οὖν καὶ ἐπὶ τούτῳ οὐχ ἥκιστα πάντων αὐτῷ τῶν οἰκείων κτημάτων ἀπέστησαν ὁμολογοῦντες ὅτι πρὸς τοὺς εὐσεβεῖς τῶν ἀνθρώπων καὶ τοὺς θεοὺς καὶ τοὺς γειναμένους δι' αἰδοῦς ἄγοντας καὶ οἱ φύσει πολέμιοι ἥμεροι γίγνονται.

## 2. Ἕτερον.

Μειράκιον Ἐρετρικὸν προσεφοίτησε Ζήνωνι ἐπὶ πολὺν χρόνον, ἔστ' ἐς ἄνδρας ἀφίκετο. Ὕστερον οὖν εἰς τὴν Ἐρέτριαν ἐπανῆλθε καὶ αὐτὸν ὁ πατὴρ ἤρετο, ὅ, τι ἄρα μάθοι σοφὸν ἐν τῇ τοσαύτῃ διατριβῇ τοῦ χρόνου. Ὁ δὲ δείξειν ἔφη καὶ οὐκ ἐς μακρὰν ἔδρασε τοῦτο. Χαλεπήναντος γὰρ αὐτῷ τοῦ πατρὸς καὶ τέλος πληγὰς ἐντείναντος, ὁ δὲ τὴν ἡσυχίαν ἀγαγὼν καὶ ἐγκαρτερήσας, τοῦτο ἔφη μεμαθηκέναι, φέρειν ὀργὴν πατέρων καὶ μὴ ἀγανακτεῖν.

## 3. Σεβασμὸς πρὸς τὸ γῆρας.

Πρεσβύτης ἐν Ὀλυμπίᾳ συντελουμένου τοῦ ἀγῶνος, προθυμούμενο, θεάσασθαι, καθέδρας ἠπόρει· πολλοὺς δ' ἐπιπορευόμενος τόπους ὑβρίζετο καὶ ἐσκώπτετο μηδενὸς αὐτὸν παραδεχομένου· ὡς δὲ κατὰ τοὺς Λακεδαιμονίους ἧκεν, ἀνέστησαν πάντες οἱ παῖδες καὶ πολλοὶ τῶν ἀνδρῶν τοῦ τόπου ἐκχωροῦντες· τῶν δὲ Πανελλήνων ἐπισημηναμένων κρότῳ τὸ ἔθος καὶ ὑπερεπαινούντων, ὁ πρεσβύτης κινήσας

---

χίαν τῶν Ἑλλήνων.—*ἀράμενον*:ἀναλαβὼν ἐφ' ἑαυτοῦ.—*Αἰνείας*:περίφημος τῶν Τρώων στρατηγός, συγγενὴς τοῦ βασιλικοῦ οἴκου.—*τῶν ἄλλων* : πραγμάτων.—*ἡσθέντες*:εὐχαριστηθέντες.-*ἀπέστησαν*:οἱ Ἕλληνες ἀπεμακρύνθησαν ἀπὸ τῶν πραγμάτων τοῦ Αἰνείου.—*τοὺς γειναμένους*:τοὺς γονεῖς.-*δι' αἰδοῦς ἄγοντας*:σεβομένους.

2. *Ἐρετρικὸν* : ἐξ Ἐρετρίας πόλεως τῆς Εὐβοίας.—*Ζήνωνι* : τῷ φιλοσόφῳ.—*ἔστ'*:ἕως ὅτου.—*ἐς ἄνδρας*:εἰς τὴν ἀνδρικὴν ἡλικίαν.—*οὐκ ἐς μακράν*:οὐχὶ μετὰ πολὺν χρόνον.—*ἔδρασε τοῦτο*:ἔπραξε τοῦτο δηλ. τί σοφὸν ἔμαθε.—*χαλεπήναντος*: ὀργισθέντος.—*πληγὰς ἐντείναντος* : δείραντος.—3. *καθέδρας ἠπόρει* : δὲν εἶχε κάθισμα.-*κατὰ τοὺς Λακεδαιμονίους*:εἰς τὸ μέρος ἔνθα ἐκάθηντο οἱ Λακεδαιμόνιοι.—*τοῦ τόπου ἐκχωροῦντος*:παραχωροῦντες τὰς θέσεις των.—*ἐπισημηναμένων*:ἐπειδὴ ἐπεδοκίμασαν. *τὸ ἔθος* : τῶν Λακεδαιμονίων νὰ σέβωνται τὸ γῆρας.

τὴν πολιὰν κεφαλὴν καὶ δακρύσας «οἴμοι τῶν κακῶν» φησὶν «ὡς ἅπαντες μὲν οἱ Ἕλληνες ἐπίστανται τὰ καλά, χρῶνται δ' αὐτοῖς μόνοι Λακεδαιμόνιοι».

### 4. Ἀγάπη πρὸς τὰ ζῷα.

Ξενοκράτης ὁ Χαλκηδόνιος, ὁ ἑταῖρος Πλάτωνος, τά τε ἄλλα ἦν φιλοικτίρμων καὶ οὐ μόνον φιλάνθρωπος, ἀλλὰ καὶ πολλὰ τῶν ἀλόγων ζώων ἠλέει. Καὶ οὖν ποτε καθημένου ἐν ὑπαίθρῳ, διωκόμενος βιαίως στρουθὸς ὑπὸ ἱέρακος ἐς τοὺς κόλπους αὐτοῦ κατέπτη. Ὁ δὲ ἀσμένως ἐδέξατο τὸν ὄρνιν καὶ διεφύλαξεν ἀποκρύψας, ἔστε ὁ διώκων ἀπῆλθεν. Ἐπεὶ δὲ ἠλευθέρωσεν αὐτὸν τοῦ φόβου, ἁπλώσας τὸν κόλπον ἀφῆκε τὸν ὄρνιν ἐπειπὼν ὅτι οὐκ ἐξέδωκε τὸν ἱκέτην.

### 5. Τιμωρία ὑπὸ Μυτιληναίων.

Ἡνίκα τῆς θαλάττης ἦρξαν Μυτιληναῖοι, τοῖς ἀφισταμένοις τῶν συμμάχων τιμωρίαν ἐκείνην ἐπήρτησαν, γράμματα μὴ μανθάνειν τοὺς παῖδας αὐτῶν μηδὲ μουσικὴν διδάσκεσθαι, πασῶν κολάσεων ἡγησάμενοι βαρυτάτην εἶναι ταύτην, ἐν ἀμουσίᾳ καὶ ἀμαθίᾳ καταβιῶναι.

### 6. Φιλεργία Μενεδήμου καὶ Ἀσκληπιάδου.

Τοὺς ἀσώτους καὶ τοὺς μὴ ἔκ τινος περιουσίας ζῶντας τὸ παλαιὸν ἀνεκαλοῦντο οἱ ἀρεοπαγῖται καὶ ἐκόλαζον. Μενέδημον γοῦν καὶ Ἀσκληπιάδην τοὺς φιλοσόφους, νέους ὄντας καὶ πενομένους, μεταπεμψάμενοι ἠρώτησαν, πῶς ὅλας τὰς ἡμέρας τοῖς φιλοσόφοις σχολάζοντες, κεκτημένοι δὲ μηδέν, εὐεκτοῦσιν οὕτω τοῖς σώμασι· καὶ οἱ ἐκέλευσαν μεταπεμφθῆναί τινα τῶν μυλωθρῶν. Ἐλθόντος δ' ἐκείνου καὶ εἰπόντος ὅτι νυκτὸς ἑκάστης κατιόντες εἰς τὸν μυλῶνα καὶ ἀλοῦντες δύο δραχμὰς ἀμφότεροι λαμβάνουσι, θαυμάσαντες οἱ ἀρεοπαγῖται διακοσίαις δραχμαῖς ἐτίμησαν αὐτούς.

---

4. *ἔστε*: ἕως οὗ.—*οὐκ ἐξέδωκε*: δὲν παρέδωκεν.—5. *ἡνίκα* : ὅτε.—*τοῖς ἀφισταμένοις*: εἰς τοὺς ἀποστατοῦντας.—*ἐπήρτησαν* : ἐπέβαλον.—6. *ἀνεκαλοῦντο*: ἐκάλουν ἄνω εἰς τὸν Ἄρειον Πάγον.—*μεταπεμψάμενοι* : προσκαλέσαντες.—*τοῖς φιλοσόφοις σχολάζοντες*: φοιτῶντες παρὰ τοῖς φιλοσόφοις.—*εὐεκτοῦσιν*: εὖ ἔχουσιν, εἶνε ὑγιεῖς καὶ ῥωμαλέοι.—*ἀλοῦντες*: ἀλέθοντες,

### 7. Γενναιότης Ξενοφῶντος.

Ξενοφῶντι θύοντι ἧκέ τις ἐκ Μαντινείας ἄγγελος λέγων τὸν υἱὸν αὐτοῦ τὸν Γρύλλον τεθνάναι· κἀκεῖνος ἀπέθετο μὲν τὸν στέφανον, διετέλει δὲ θύων. Ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε τῷ πρότερον λόγῳ καὶ ἐκεῖνον τὸν λέγοντα ὅτι νικῶν μέντοι τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τῇ κεφαλῇ τὸν στέφανον.

### 8. Ἐλευθεριότης Κίμωνος.

Κίμων ὁ Ἀθηναῖος ἐν τοῖς ἀγροῖς καὶ τοῖς κήποις οὐδένα τοῦ καρποῦ καθίστη φύλακα, ὅπως οἱ βουλόμενοι τῶν πολιτῶν εἰσιόντες ὀπωρίζωνται καὶ λαμβάνωσιν εἴ τινος δέοιντο τῶν ἐν τοῖς χωρίοις. Ἔπειτα τὴν οἰκίαν παρεῖχε κοινὴν ἅπασιν, ὡς δεῖπνον ἀεὶ εὐτελὲς παρασκευάζεσθαι πολλοῖς ἀνθρώποις καὶ τοὺς ἀπόρους προσιόντας τῶν Ἀθηναίων δειπνεῖν. Ἐθεράπευε δὲ καὶ τοὺς καθ' ἑκάστην ἡμέραν αὐτοῦ τι δεομένους· καὶ λέγουσιν ὡς περιήγετο μὲν ἀεὶ νεανίσκους δύ' ἢ τρεῖς ἔχοντας κέρματα, τούτοις τε διδόναι προσέταττεν, ὁπότε τις προσέλθοι αὐτοῦ δεόμενος. Καί φασι μὲν αὐτὸν καὶ εἰς ταφὴν εἰσφέρειν. Ποιεῖν δὲ καὶ τοῦτο πολλάκις· ὁπότε τῶν πολιτῶν τινα ἴδοι κακῶς ἠμφιεσμένον, κελεύειν αὐτῷ μεταμφιέννυσθαι τῶν νεανίσκων τινὰ τῶν συνακολουθούντων αὐτῷ. Ἐκ δὴ τούτων ἁπάντων ηὐδοκίμει καὶ πρῶτος ἦν τῶν πολιτῶν.

### 9. Μικρολογία.

Ἀννίκερις ὁ Κυρηναῖος ἐπὶ ἱππείᾳ μάχῃ μέγα ἐφρόνει καὶ ἁρμάτων ἐλάσει. Καὶ οὖν ποτε καὶ ἐβουλήθη Πλάτωνι ἐπιδείξασθαι τὴν τέχνην. Ζεύξας οὖν τὸ ἅρμα περιήλασεν ἐν Ἀκαδημείᾳ δρόμους παμπόλλους οὕτως ἀκριβῶς φυλάττων τοῦ δρόμου τὸν στοῖχον, ὡς

---

**7.** *Μαντινείας:* πόλις τῆς Ἀρκαδίας, ἔνθα συνήφθη ἡ περίφημος μάχη ἐν ἔτει 362 μεταξὺ Λακεδ. καὶ Θηβαίων—*τὸν στέφανον:* οἱ θύοντες ἐφόρουν στέφανον. Ὁ Ξενοφῶν ἀπέθετο τοῦτον πρὸς δήλωσιν πένθους.—**8.** *ὀπωρίζωνται:* λαμβάνωσιν ὀπώρας.—*ὡς δεῖπνον ἀεὶ εὐτελές....:* ὥστε δεῖπνον πάντοτε λιτὸν παρεσκευάζετο.—*ἐθεράπευε:* προσέφερεν ὑπηρεσίαν.-*περιήγετο:* περιῆγε μεθ' ἑαυτοῦ.—*κέρματα:* νομίσματα.—*εἰς ταφήν:* ἵνα θάπτωνται πτωχοὶ ἀποθνήσκοντες.—*ἠμφιέσμενον:* ἐνδεδυμένον.—*μεταμφιέννυσθαι:* νὰ ἐκβάλῃ τὸ ἔνδυμά του ἐκ τῶν νεανίσκων τις.—**9.** *Κυρηναῖος:* ἐκ Κυρήνης τῆς Ἀφρικῆς.—*Ἀκαδημείᾳ:* τόπος κατάφυτος καὶ τερπνός, ἔνθα ὁ

μὴ παραβαίνειν τὰς ἁρματοτροχίας, ἀλλ' ἀεὶ κατ' αὐτῶν ἰέναι. Οἱ μὲν οὖν ἄλλοι πάντες, ὥσπερ εἰκός, ἐξεπλάγησαν, ὁ δὲ Πλάτων τὴν ὑπερβάλλουσαν αὐτοῦ σπουδὴν διέβαλεν εἰπὼν «ἀδύνατόν ἐστι τὸν ἐς μικρὰ οὕτω καὶ οὐδενὸς ἄξια τοσαύτην φροντίδα κατατιθέμενον ὑπὲρ μεγάλων τινῶν σπουδάσαι· πᾶσαν γὰρ αὐτῷ τὴν διάνοιαν εἰς ἐκεῖνα, ἀποτεθεῖσαν ἀνάγκη ὀλιγωρεῖν τῶν ὄντως θαυμάζεσθαι δικαίων».

## 10. Μετριότης Πλάτωνος.

Πλάτων ὁ Ἀρίστωνος ἐν Ὀλυμπίᾳ συνεσκήνωσεν ἀγνῶσιν ἀνθρώποις καὶ αὐτὸς ὢν αὐτοῖς ἀγνώς. Οὕτω δὲ αὐτοὺς ἐχειρώσατο καὶ ἀνεδήσατο τῇ συνουσίᾳ συνεστιώμενός τε αὐτοῖς ἀφελῶς καὶ συνδιημερεύων ἐν πᾶσιν, ὡς ὑπερησθῆναι τοὺς ξένους τῇ τοῦ ἀνδρὸς συντυχίᾳ. Οὔτε δὲ Ἀκαδημείας ἐμέμνητο οὔτε Σωκράτους· αὐτό γε μὴν τοῦτο ἐνεφάνισεν αὐτοῖς, ὅτι καλεῖται Πλάτων. Ἐπεὶ δὲ ἦλθον εἰς τὰς Ἀθήνας, ὑπεδέξατο αὐτοὺς εὖ μάλα φιλοφρόνως. Καὶ οἱ ξένοι «ἄγε» εἶπον «ὦ Πλάτων, ἐπίδειξον ἡμῖν καὶ τὸν ὁμώνυμόν σου, τὸν Σωκράτους ὁμιλητήν, καὶ ἐπὶ τὴν Ἀκαδήμειαν ἥγησαι τὴν ἐκείνου καὶ σύστησον τῷ ἀνδρί, ἵνα τι καὶ αὐτοῦ ἀπολαύσωμεν.» Ὁ δὲ ἠρέμα ὑπομειδιάσας, ὥσπερ οὖν καὶ εἰώθει, «ἀλλ' ἐγώ» φησιν, «αὐτὸς ἐκεῖνός εἰμι.» Οἱ δὲ ἐξεπλάγησαν, εἰ τὸν ἄνδρα ἔχοντες μεθ' ἑαυτῶν τὸν τοσοῦτον ἠγνόησαν ἀτύφως αὐτοῦ συγγενομένου καὶ ἀνεπιτηδεύτως αὐτοῖς καὶ δείξαντος, ὅτι δύναται καὶ ἄνευ τῶν συνήθων λόγων χειροῦσθαι τοὺς συνόντας.

## 11. Κλεινίας.

Κλεινίας ἀνὴρ ἦν σπουδαῖος τὸν τρόπον, Πυθαγόρειος δὲ τὴν σοφίαν. Οὗτος, εἴ ποτε ἐς ὀργὴν προήχθη καὶ ᾐσθάνετο ἑαυτὸν ἐς θυ-

---

Πλάτων ἐδίδασκεν.—*ἀεὶ κατ' αὐτῶν ἰέναι*: οἱ τροχοὶ δηλ. κατὰ τοὺς ἐπανειλημμένους δρόμους νὰ κυλίωνται ἐπὶ τῶν τροχιῶν, ἐπὶ τῶν αὐτῶν ἰχνῶν.—*ὥσπερ εἰκός*: ὡς ἑπόμενον ἦτο.—*διέβαλεν*: κατηγόρησεν.—*ὀλιγωρεῖν*: νὰ ἀμελῇ·

10. *συνεσκήνωσεν ἀγνῶσι*: κατῴκησεν ὑπὸ τὴν αὐτὴν σκηνὴν μετ' ἀγνώστων.—*ἐχειρώσατο καὶ ἀνεδήσατο*: προσείλκυσε καὶ ἐμάγευσε.—*ὡς ὑπερησθῆναι*: ὥστε ὑπερευχαριστήθησαν.—*οὐκ ἐμέμνητο*: δὲν ὡμίλει.—*ἐνεφάνισεν*: ἐφανέρωσεν.—*ἥγησαι*. ὁδήγησον.—*τὸν τοσοῦτον* τὸν τόσῳ μέγαν, τὸν περιώνυμον.—*ἀτύφως*: ἄνευ ὑπερηφανείας· *ἀνεπιτηδεύτως*: ἄνευ ἐπιτηδεύσεως, φυσικῶς, ἀσφαλῶς.—*ἄνευ τῶν συνήθων*: δηλ. τῶν φιλοσοφικῶν.—11. *Πυθαγόρειος δὲ τὴν σοφίαν*: ἀνῆκεν εἰς τὴν

μὸν ἐξαγόμενον, παραχρῆμα, πρὶν ἡ ἀνάπλεως αὐτῷ ἡ ὀργὴ καὶ ἐπίδηλος γένηται ὅπως διάκειται, τὴν λύραν ἁρμοσάμενος ἐκιθάριζε. Πρὸς δὲ τοὺς πυνθανομένους τὴν αἰτίαν ἀπεκρίνετο ἐμμελῶς ὅτι «πραΰνομαι».

## 12. Περὶ ἀλαζονείας.

Ταραντῖνος Εὐάγγελος τοὔνομα τῶν οὐκ ἀφανῶν ἐν τῷ Τάραντι ἐπεθύμησε νικῆσαι Πύθια. Κιθάρᾳ τοίνυν καὶ ᾠδῇ ῥᾳδίως κρατήσειν ἐπείσθη ὑπὸ τῶν καταράτων ἀνθρώπων, οὓς εἶχε περὶ αὐτὸν, ἐπαινούντων καὶ βοώντων, ὁπότε καὶ τὸ σμικρότατον ἐκεῖνος ἀνακρούσαιτο. Ἧκεν οὖν εἰς τοὺς Δελφοὺς τοῖς τε ἄλλοις λαμπρὸς καὶ δὴ τὴν ἐσθῆτα χρυσῆν ποιησάμενος καὶ στέφανον δάφνης χρυσῆς κάλλιστον. Εἶχε δὲ κιθάραν καλλίστην καὶ πολυτελεστάτην χρυσοῦ μὲν τοῦ ἀκηράτου πᾶσαν, σφραγῖσι δὲ καὶ λίθοις ποικίλοις κατακεκοσμημένην, θαῦμα μέγα τοῖς ὁρῶσιν.

Ἐπεὶ δ' οὖν ἧκεν ἡ τοῦ ἀγῶνος ἡμέρα, τρεῖς μὲν ἦσαν, ἔλαχε δὲ μέσος αὐτῶν ὁ Εὐάγγελος ᾄδειν καὶ μετὰ Θέσπιν τὸν Θηβαῖον οὐ φαύλως ἀγωνισάμενον. Εἰσέρχεται τοίνυν ὅλος περιλαμπόμενος τῷ χρυσῷ καὶ τοῖς σμαράγδοις καὶ τοῖς ἄλλοις λίθοις. Τούτοις ἅπασι προεκπλήξας τὸ θέατρον καὶ θαυμαστῆς ἐλπίδος ἐμπλήσας τοὺς θεατάς, ἐπειδή ποτε καὶ ᾆσαι καὶ κιθαρίσαι πάντως ἔδει, ἀνακρούεται μὲν ἀνάρμοστόν τι καὶ ἀσύντακτον, ἀπορρήγνυσι δὲ τρεῖς ἅμα χορδὰς σφοδρότερον τοῦ δέοντος ἐμπεσὼν τῇ κιθάρᾳ, ᾄδων δὲ ἄρχεται ἀπόμουσόν τι καὶ λεπτόν, ὥστε γέλωτα μὲν παρὰ πάντων γενέσθαι τῶν θεατῶν, τοὺς ἀθλοθέτας δὲ ἀγανακτήσαντας ἐπὶ τῇ τόλμῃ μαστιγώσαντας αὐτὸν ἐκβαλεῖν τοῦ θεάτρου· ὅτε περ καὶ γελοιότατος ὤφθη δακρύων ὁ χρυσοῦς Εὐάγγελος καὶ ὑπὸ τῶν μαστιγοφόρων συρόμενος διὰ μέσης τῆς σκηνῆς καὶ τὰ σκέλη καθημαγμένος ἐκ τῶν μαστίγων καὶ συλλέγων χαμόθεν τῆς κιθάρας τὰς σφραγῖδας· ἐξεπεπτώκεσαν γὰρ κἀκείνης συμμαστιγουμένης αὐτῷ.

---

φιλοσοφικὴν σχολὴν τοῦ Πυθαγόρου.—*ἐς θυμὸν ἐξαγόμενον*: παραφερόμενον.—*ὅπως διάκειται*: πῶς εἶνε διατεθειμένος.

12. *Ταραντῖνος*: ἐκ τοῦ Τάραντος, πόλεως τῆς Ἰταλίας.—*τῶν οὐκ ἀφανῶν*: ἐκ τῶν ἐπισήμων.-*Πύθια*: Πανελλήνιοι ἀγῶνες τελούμενοι παρὰ τοὺς Δελφοὺς πρὸς τιμὴν τοῦ Ἀπόλλωνος. Τῷ νικητῇ ἐδίδετο στέφανος δάφνης.—*κρατήσειν*: ὅτι θὰ νικήσῃ.—*ὁπότε ἀνακρούσαιτο*: ὁσάκις ἔπαιζε.—*ἀκηράτου*: καθαροῦ, ἀμιγοῦς.—*σφραγῖσι*: μὲ λίθους πολυτίμους.—*ἐλπίδος*: ὅτι θὰ καθαρίσῃ ἐντέχνως κ.λ.π.—*ἀπορρήγνυσι*: ἀποκόπτει, ἀποθραύει.—*ἀπόμουσον*: ἄμουσον.—*κόλλοπας*: τὰ ξυ-

Μικρὸν δὲ μετ' αὐτὸν Εὔμηλός τις Ἠλεῖος εἰσέρχεται κιθάραν μὲν παλαιὰν ἔχων, ξυλίνους δὲ κόλλοπας ἐπικειμένην, ἐσθῆτα δὲ μόλις σὺν τῷ στεφάνῳ δέκα δραχμῶν ἀξίαν· ἀλλ' οὗτος γε ᾄσας δεξιῶς καὶ κιθαρίσας κατὰ τὸν νόμον τῆς τέχνης ἐκράτει καὶ ἀνεκηρύττετο καὶ τοῦ Εὐαγγέλου κατεγέλα μάτην ἐμπομπεύσαντος τῇ κιθάρᾳ καὶ ταῖς σφραγῖσιν ἐκείναις, καὶ εἰπεῖν γε λέγεται πρὸς αὐτόν. «Ὦ Εὐάγγελε, σὺ μὲν χρυσῆν δάφνην περίκεισαι, πλουτεῖς γάρ, ἐγὼ δὲ ὁ πένης τὴν Δελφικήν.»

## 13. Περὶ διαβολῆς.

Ἀπελλῆς διεβλήθη πρὸς τὸν Πτολεμαῖον ὡς μετεσχηκὼς Θεοδότᾳ τῆς συνωμοσίας ἐν Τύρῳ, ὁ δὲ Ἀπελλῆς οὐχ ἑωράκει ποτὲ τὴν Τύρον οὐδὲ τὸν Θεοδόταν ὅστις ἦν ἐγίγνωσκεν. Ἀλλ' ὅμως τῶν ἀντιτέχνων τις, Ἀντίφιλος τοὔνομα, ὑπὸ φθόνου τῆς παρὰ βασιλεῖ τιμῆς καὶ τῆς κατὰ τὴν τέχνην ζηλοτυπίας κατεῖπεν αὐτοῦ πρὸς τὸν Πτολεμαῖον, ὡς εἴη κεκοινωνηκὼς τῶν ὅλων καὶ ὡς θεάσαιτό τις αὐτὸν ἐν Φοινίκῃ συνεστιώμενον Θεοδότᾳ καὶ παρ' ὅλον τὸ δεῖπνον πρὸς τὸ οὖς αὐτῷ κοινολογούμενον.

Ὁ δὲ Πτολεμαῖος οὐ φρενήρης ὤν, ἀλλ' ἐν κολακείᾳ δεσποτικῇ τεθραμμένος, οὕτω συνεταράχθη πρὸ τῆς παραδόξου ταύτης διαβολῆς, ὥστε μὴ λογισάμενος μηδ' ὅτι ἀντίτεχνος ἦν ὁ διαβάλλων μηδ' ὅτι Ἀπελλῆς εὖ ἐπεπόνθει ὑπ' αὐτοῦ καὶ παρ' ὁντινοῦν τῶν ὁμοτέχνων ἐτετίμητο, ἀλλ' οὐδὲ τὸ παράπαν εἰ ἐξέπλευσεν Ἀπελλῆς εἰς Τύρον ἐξετάσας εὐθὺς βοῆς ἐνεπίμπλα τὰ βασίλεια, τὸν ἀχάριστον κεκραγὼς καὶ τὸν ἐπίβουλον καὶ συνωμότην. Καὶ εἴ γε μὴ τῶν συνειλημμένων τις ἀγανακτήσας ἐπὶ τῇ τοῦ Ἀντιφίλου ἀναισχυντίᾳ καὶ τὸν ἄθλιον Ἀπελλῆν κατελεήσας ἔφη μηδενὸς αὐτοῖς

---

λάρια ἐκεῖνα τῆς κιθάρας, διὰ τῆς στροφῆς τῶν ὁποίων τεντώνονται αἱ χορδαί, περὶ αὐτὰ περιδεδεμέναι.—*σὺν τῷ στεφάνῳ*: οἱ ἀγωνιζόμενοι ἐφόρουν στέφανον.—*ἀνεκηρύττετο*: δηλ. νικητής.— *μάτην ἐμπομπεύσαντος*: διότι ἔδειξε ματαίαν ἀλαζονείαν.—*περίκεισαι*: εἶσαι περιβεβλημένος.

13. *Ἀπελλῆς*: ὁ ἐξ Ἐφέσου περιώνυμος ζωγράφος σύγχρονος τοῦ Μ. Ἀλεξάνδρου.—*Πτολεμαῖον*: βασιλεὺς τῆς Αἰγύπτου.—*Θεοδότᾳ*: οὗτος εἶχε συνομόσει ἐν Τύρῳ κατὰ τοῦ βασιλέως Πτολεμαίου.—*τῆς παρὰ βασ. τιμῆς*: ἐπειδὴ ὁ Ἀπ. ἐτιμᾶτο ὑπὸ τοῦ Πτολεμαίου.—*κατεῖπε*: κατηγόρησε, κατεμήνυσεν.—*εἴη κεκοινωνηκώς*: εἶχε μετάσχει (ὁ Ἀπ.).—*πρὸς τὸ οὖς κοινολογούμενον*: ὁμιλοῦντα πρὸς τὸ οὖς, μυστικὰ πρὸς τὸν Θεοδόταν.— *φρενήρης*: φρόνιμος.— *εὖ ἐπεπόνθει*: εἶχεν εὐεργετηθῆ.—*παρ' ὁντινοῦν*: ὑπὲρ πάντα ἄλλον.—*ἐτετίμητο*: ὑπὸ τοῦ Πτολεμαίου.—*τῶν συνειλημμένων*: συνωμοτῶν.—*τὸν ἄνθρωπον*: τὸν Ἀπελλῆν.

κεκοινωνηκέναι τὸν ἄνθρωπον, ἀπετέτμητο ἂν τὴν κεφαλὴν οὐδὲν αὐτὸς αἴτιος γεγονώς.

Ὁ μὲν οὖν Πτολεμαῖος οὕτω λέγεται αἰσχυνθῆναι ἐπὶ τοῖς γεγονόσιν, ὥστε τὸν μὲν Ἀπελλῆν ἑκατὸν ταλάντοις ἐδωρήσατο, τὸν δὲ Ἀντίφιλον δουλεύειν αὐτῷ παρέδωκεν.

## 14. Μεγαλοψυχία Σπαρτιατῶν.

Ἔτυχεν ἡ πόλις τῶν Λακεδαιμονίων ἑορτὴν ἄγουσα καὶ ξένων οὖσα μεστή· γυμνοπαιδίαι γὰρ ἦσαν ἀγωνιζομένων χορῶν ἐν τῷ θεάτρῳ· παρῆσαν δὲ ἀπὸ Λεύκτρων οἱ τὴν συμφορὰν ἀπαγγέλλοντες. Οἱ δὲ ἔφοροι, καίπερ εὐθὺς ὄντος καταφανοῦς ὅτι διέφθαρται τὰ πράγματα καὶ τὴν ἀρχὴν ἀπολωλέκασιν, οὔτε χορὸν ἐξελθεῖν εἴασαν οὔτε τὸ σχῆμα τῆς ἑορτῆς μεταβαλεῖν τὴν πόλιν, ἀλλὰ κατ' οἰκίαν τῶν τεθνεώτων τοῖς προσήκουσι τὰ ὀνόματα πέμψαντες αὐτοὶ τὰ περὶ τὴν θέαν καὶ τὸν ἀγῶνα τῶν χορῶν ἔπραττον.

Ἅμα δὲ ἡμέρᾳ φανερῶν ἤδη γεγονότων πᾶσι τῶν τε σῳζομένων καὶ τῶν τεθνεώτων οἱ μὲν τῶν τεθνεώτων πατέρες καὶ κηδεσταὶ καὶ οἰκεῖοι καταβαίνοντες εἰς ἀγορὰν ἀλλήλους ἐδεξιοῦντο φαιδροὶ τὰ πρόσωπα φρονήματος μεστοὶ καὶ χαρᾶς, οἱ δὲ τῶν σῳζομένων, ὥσπερ ἐπὶ πένθει, μετὰ τῶν γυναικῶν οἴκοι διέτριβον· εἰ δέ τις ὑπ' ἀνάγκης προέλθοι, καὶ σχήματι καὶ φωνῇ καὶ βλέμματι ταπεινὸς ἐφαίνετο καὶ συνεσταλμένος.

Ἔτι δὲ μᾶλλον τῶν γυναικῶν ἰδεῖν ἦν καὶ πυθέσθαι τὴν μὲν ζῶντα προσδεχομένην υἱὸν ἀπὸ τῆς μάχης κατηφῆ καὶ σιωπηλήν, τὰς δὲ τῶν πεπτωκέναι λεγομένων ἔν τε τοῖς ἱεροῖς εὐθὺς ἀναστρεφομένας καὶ πρὸς ἀλλήλας ἱλαρῶς καὶ φιλοτίμως βαδιζούσας.

## 15. Σιμωνίδης καὶ Παυσανίας.

Ἔν τινι συμποσίῳ παρῆν Σιμωνίδης ὁ Κεῖος καὶ Παυσανίας ὁ

---

14. *γυμνοπαιδίαι*: ἑορτὴ τελουμένη κατ' ἔτος ἐν Σπάρτῃ καὶ διαρκοῦσα πιθανῶς περὶ τὰς 10 ἡμέρας πρὸς τιμὴν τοῦ Ἀπόλλωνος, τῆς Ἀρτέμιδος καὶ τῆς Λητοῦς, καθ' ἣν οἱ νέοι γυμνοὶ ἐχόρευον περὶ τὰ ἀγάλματα τῶν θεῶν τούτων ψάλλοντες διαφόρους ᾠδάς.—*τὴν συμφοράν*: τὴν ἧτταν δηλ. ἣν οἱ Λακ. ἔπαθον ἐν Λεύκτροις ὑπὸ τῶν Βοιωτῶν ἐν ἔτει 371 π. χ.—*ἐξελθεῖν*: ἐκ τοῦ θεάτρου.—*τοῖς προσήκουσι*: εἰς τοὺς συγγενεῖς.— *κηδεσταί*: συγγενεῖς.— *σχήματι*: διὰ τῆς στάσεως τοῦ σώματος.— *ἦν*: ἦτο δυνατόν.— *ἱλαρῶς*: φαιδρῶς. 15. *Σιμωνίδης*: ὁ ποιητής.

Λακεδαιμόνιος. Προσέταξεν οὖν ὁ Παυσανίας τῷ Σιμωνίδῃ σοφόν τι εἰπεῖν, ὁ δὲ Κεῖος «μέμνησο» εἶπεν «ἄνθρωπος ὤν». Τοῦτο παραχρῆμα μὲν ἐξεφαύλισε Παυσανίας καὶ παρ' οὐδὲν ἔθετο ὑποτυφόμενος ἤδη ἐς τὸν τοῦ μηδίζειν ἔρωτα καὶ μεγαλοφρονῶν ἐπὶ τῇ πρὸς βασιλέα ξενίᾳ ἴσως δὲ καὶ ὑπὸ τοῦ οἴνου παραφερόμενος. Ἐπεὶ δὲ ἦν πρὸς τῇ Χαλκιοίκῳ καὶ διεπάλαιε τῷ λιμῷ καὶ ἔμελλεν ἀποθνήσκειν ἀνθρώπων ἀλγεινότατα, τηνικαῦτα ἐμνήσθη τοῦ Σιμωνίδου καὶ ἐξεβόησε ἐς τρὶς «ὦ ξένε Κεῖε, μέγα τι ἄρα χρῆμα ἦν ὁ λόγος σου, ἐγὼ δὲ ὑπ' ἀγνοίας οὐδὲν αὐτὸν ᾤμην εἶναι».

### 16. Φιλοπατρία Κόδρου.

Δωριεῖς Ἀθηναίοις πολεμοῦντες χρησμὸν ἔλαβον ἐὰν φείσωνται Κόδρου νικῆσαι· ὁ δὲ δρέπανον λαβὼν ἧκεν εἰς τοὺς ἐναντίους ἐν εὐτελοῦς σχήματι καὶ ἕνα φονεύσας ὑπὸ θατέρου ἀνῃρέθη οὕτω τ' ἐνίκησαν οἱ Ἀθηναῖοι.

### 17. Ἀδηφαγία.

Διονύσιος ὁ Ἡρακλεώτης, Κλεάρχου τοῦ τυράννου υἱός, ἐκ τῆς καθ' ἡμέραν ἀδηφαγίας καὶ τρυφῆς ἔλαθεν ἑαυτὸν ὑπερσαρκήσας καὶ καταπιανθείς. Τὰ ἐπίχειρα γοῦν τοῦ κατὰ τὸ σῶμα μεγέθους καὶ τοῦ περὶ τὰς σάρκας ὄγκου ἐκαρπώσατο δύσπνοιαν. Φάρμακον οὖν αὐτῷ τοῦδε τοῦ πάθους συνέταξαν οἱ ἰατροὶ βελόνας λεπτὰς κατασκευάσαι μηκίστας εἶτα ταύτας διὰ τῶν πλευρῶν καὶ τῆς κοιλίας διωθεῖν, ὅταν ἐς ὕπνον τύχῃ βαθύτερον ἐμπεσών. Ἦν δὲ ἄρα τοῦτο ἐπιμελὲς ἐκείνοις δρᾶν, ἔστε ὅλη διὰ τῆς πεπωρωμένης καὶ τρόπον τινὰ ἀλλοτρίας αὐτοῦ σαρκὸς διεῖρπεν ἡ βελόνη· ἀλλ' ἐκεῖνός γε ἔκειτο λίθου διαφέρων οὐδέν. Εἰ δὲ ἀφίκετο τὸ βέλος ἔνθα λοιπὸν ἦν αὐτῷ τὸ σῶμα ἐρρωμένον καὶ ἴδιον ἀλλ' οὐκ ἐκ τῆς ἄγαν πιμελῆς ἀλλό-

---

—*ἐξεφαύλισε* περιεφρόνησεν, ἐξηυτέλισεν.—*παρ' οὐδὲν ἔθετο* : διόλου δὲν ἐξετίμησε.—*ὑποτυφόμενος* : ὑποκαιόμενος, ὑποθερμαινόμενος, κινούμενος.—*ξενίᾳ* : φιλίᾳ.—*Χαλκιοίκῳ* : εἰς τὸν ναὸν τῆς Χαλκιοίκου Ἀθηνᾶς, εἰς τὸν ὁποῖον κατέφυγε διωκόμενος ὑπὸ τῶν Σπαρτιατῶν.—*μέγα χρῆμα* : μέγα πρᾶγμα.

16. *ὁ δέ*: Κόδρος.—*ἐν εὐτελοῦς σχήματι* : μὲ ἐνδυμασίαν εὐτελοῦς ἀνθρώπου.—*ἀνῃρέθη* : ἐφονεύθη.—17. *ἔλαθεν... ὑπερσαρκήσας*: χωρὶς νὰ τὸ ἐννοήσῃ ἐπαχύνθη καὶ ἔπαθεν ἐξ ὑπερσαρκίας.—*μηκίστας* : μακροτάτας.—*διωθεῖν* : νὰ σπρώχνουν ἐντὸς διὰ τῶν πλευρῶν κ.λ.—*Ἦν δ' ἐπιμελὲς ἐκείνοις*: ἐφρόντιζον δ' ἐκεῖνοι.—*πεπωρωμένης*: ἀπεσκληρυμμένης, ἀναισθήτου.—*λοιπὸν ἦν* : ὑπελείπετο. —*ἐρρωμένον* : ὑγιές.—*ἐκ τῆς ἄγαν πιμελῆς* : ἐκ τοῦ ὑπερβολικοῦ πάχους.—*τοὺς χρημα-*

τριον, τηνικαῦτα καὶ ἐκεῖνος ᾐσθάνετο καὶ ἠγείρετο ἐκ τοῦ ὕπνου. Τοὺς δὲ χρηματισμοὺς ἐποιεῖτο τοῖς βουλομένοις αὐτῷ προσιέναι κιβωτὸν τοῦ σώματος προβαλλόμενος. Οἱ δὲ οὐ κιβωτόν φασιν ἀλλὰ πυργίσκον, ἵνα τὰ μὲν λοιπὰ αὐτοῦ μέρη ἀποκρύπτοιτο, τὸ δὲ πρόσωπον μόνον ὑπερέχων διαλέγοιτο πονηράν, ὦ θεοί, ταύτην ἐκεῖνος τὴν στολὴν περιαμπεχόμενος καὶ θηρίου φρουρὰν μᾶλλον ἢ ἀνθρώπου ἐσθῆτα.

## 18. Ἀδολεσχία γυναικός.

Ἡ Ῥωμαίων σύγκλητος ἀπόρρητόν τινα βουλὴν ἐβουλεύετο καθ' αὑτὴν ἐπὶ πολλὰς ἡμέρας· ἀσάφειαν δὲ πολλὴν καὶ ὑπόνοιαν ἔχοντος τοῦ πράγματος, γυνὴ τἆλλα σώφρων γυνὴ δὲ προσέκειτο τῷ ἑαυτῆς ἀνδρί, λιπαρῶς δεομένη πυθέσθαι τὸ ἀπόρρητον· ὅρκοι δὲ καὶ κατάραι περὶ σιωπῆς ἐγίγνοντο καὶ δάκρυα ποτνιωμένης αὐτῆς ὡς πίστιν οὐκ ἐχούσης. Ὁ δὲ Ῥωμαῖος ἐξελέγξαι βουλόμενος αὐτῆς τὴν ἀβελτερίαν «νικᾷς, ὦ γύναι», εἶπεν «ἀλλ' ἄκουε φοβερὸν πρᾶγμα καὶ τεράστιον· προσήγγελται γὰρ ἡμῖν ὑπὸ τῶν ἱερέων κόρυδον ὦφθαι πετόμενον κράνος ἔχοντα χρυσοῦν καὶ δόρυ· σκεπτόμεθα δὴ τὸ τέρας, εἴτε χρηστὸν εἴτε φαῦλόν ἐστι καὶ συνδιαποροῦμεν τοῖς μάντεσιν, ἀλλὰ σιώπα». Ταῦτα εἰπὼν ᾤχετο εἰς τὴν ἀγοράν· ἡ δὲ τῶν θεραπαινίδων εὐθὺς ἐφελκυσαμένη τὴν πρώτην εἰσελθοῦσαν ἔπαιε τὸ στῆθος αὑτῆς καὶ τὰς τρίχας ἐσπάραττεν «οἴμοι» λέγουσα «τοῦ ἀνδρὸς καὶ τῆς πατρίδος, τί πεισόμεθα», βουλομένη καὶ διδάσκουσα τὴν θεράπαιναν εἰπεῖν «τί γὰρ γέγονεν ;» Ὡς δ' οὖν πυθομένης διηγήσατο καὶ προσέθηκε τὸν κοινὸν ἁπάσης ἀδολεσχίας ἐπῳδόν, τὸ «ταῦτα μηδενὶ φράσῃς, ἀλλὰ σιώπα» οὐ φθάνει τὸ θεραπαινίδιον ἀποχωρῆσαι

---

*τισμοὺς ἐποιεῖτο*: ἔδιδεν ἀκρόασιν, ἠκροᾶτο.—*τοῦ σώμ. προβαλλόμενος* : προβάλλων πρὸ τοῦ σώματός του.—*περιαμπεχόμενος*: περιβαλλόμενος.—18. *ἀπόρρητον* : ἐν μυστικῇ δηλ. συνεδρίᾳ.-*ἀσάφειαν*...ἐπειδὴ δὲ τὸ πρᾶγμα ἦτο πολὺ σκοτεινὸν καὶ ὑπόνοιαν διήγειρε.--*προσέκειτο*: ἐστενοχώρει.—*λιπαρῶς*: μετ' ἐπιμονῆς.-*περὶ σιωπῆς*: ὅτι δηλ. θὰ σιωπήσῃ.—*ποτνιωμένης*: παραπονουμένης.—*ἀβελτηρίαν* : ἀνοησίαν.—*νικᾷς* : ὑπερίσχυσας.—*κόρυδον*: κορυδαλόν, ὅτι ἐφάνη.=*τὸ τέρας* : τὸ σημεῖον, τὸν οἰωνόν.—*εἴτε χρηστόν, εἴτε φαῦλον*: ἐὰν εἶνε αἴσιον (διὰ τὴν πόλιν τὸ σημεῖον) ἢ ἀπαίσιον.—*ἡ δέ* : γυνὴ τοῦ Ῥωμαίου.—*ἐφελκυσαμένη* : σύρασα πρὸς ἑαυτήν.—*τί πεισόμεθα* : τί θὰ πάθωμεν.—*πυθομένης*: ἀφ' οὗ ἡ θεράπαινα ἠρώτησε «τί γέγονεν».—*τὸν κοινὸν ἐπῳδόν*: τὸ τελευταῖον, ὅπερ ὑπὸ πάντων τῶν φλυάρων λέγεται—*οὐ φθάνει* : δὲν προφθάνει.—*σχολάζουσαν* : ἀργοῦσαν.—*ἐμβάλλει*

αὐτῆς καὶ τῶν ὁμοδούλων εὐθὺς ἣν μάλιστα εἶδε σχολάζουσαν ἐμβάλλει τὸν λόγον· ἐκείνη δὲ ἄλλῳ παραγενομένῳ πρὸς αὐτὴν ἔφρασεν. Οὕτω δ' εἰς ἀγορὰν τοῦ διηγήματος ἐκκυλισθέντος, ὥστε προδραμεῖν τὸν πλασάμενον τὴν φήμην, ἀπαντήσας τις αὐτῷ τῶν γνωρίμων, «ἀρτίως» εἶπεν «οἴκοθεν εἰς ἀγορὰν καταβαίνεις;» «Ἀρτίως» ἔφη ἐκεῖνος. «Οὐκοῦν οὐδὲν ἀκήκοας;» «Γέγονε γάρ τι καινόν;» «Ἀλλὰ κόρυδος ὦπται πετόμενος κράνος ἔχων χρυσοῦν καὶ δόρυ καὶ μέλλουσι περὶ τούτου σύγκλητον ἔχειν οἱ ἄρχοντες». Κἀκεῖνος γελάσας «εὖγε τοῦ τάχους» εἶπεν «ὦ γύναι· τὸ καὶ φθάσαι μὲ τὸν λόγον εἰς ἀγορὰν προϊόντα». Τοὺς μὲν οὖν ἄρχοντας ἐντυχὼν ἀπήλλαξε τῆς ταραχῆς, τὴν δὲ γυναῖκα τιμωρούμενος, ὡς οἴκαδε εἰσῆλθεν, «ἀπώλεσάς με» εἶπεν «ὦ γύναι· τὸ γὰρ ἀπόρρητον ἐκ τῆς ἐμῆς οἰκίας πεφώραται δεδημοσιωμένον· ὥστε μοι φευκτέον ἐστὶ τὴν πατρίδα διὰ τὴν σὴν ἀκρασίαν». Τρεπομένης δὲ πρὸς ἄρνησιν αὐτῆς καὶ λεγούσης «οὐ γὰρ ταῦτα μετὰ τριακοσίων ἤκουσας;» «Ποίων» ἔφη «τριακοσίων; σοῦ βιαζομένης ἐπλασάμην ἀποπειρώμενος».

## 19. Ἡρόδοτος.

Ἡρόδοτος πλεύσας οἴκοθεν ἐκ τῆς Καρίας εὐθὺ τῆς Ἑλλάδος ἐσκοπεῖτο, ὅπως ἂν τάχιστα καὶ ἀπραγμονέστατα ἐπίσημος καὶ περιβόητος γένοιτο καὶ αὐτὸς καὶ τὰ συγγράμματα αὐτοῦ. Τὸ μὲν οὖν περινοστοῦντα νῦν μὲν Ἀθηναίοις, νῦν δὲ Κορινθίοις ἀναγινώσκειν, ἢ Ἀργείοις, ἢ Λακεδαιμονίοις ἐν τῷ μέρει ἐργῶδες καὶ μακρὸν ἡγεῖτο εἶναι καὶ τριβὴν οὐ μικρὰν ἐν τῷ τοιούτῳ ἔσεσθαι, ἐπεβούλευε δέ, εἰ δυνατὸν εἴη, ἀθρόους που λαβεῖν τοὺς Ἕλληνας ἅπαντας. Ἐνίστανται οὖν Ὀλύμπια τὰ μεγάλα καὶ ὁ Ἡρόδοτος τοῦτ' ἐκεῖνο ἥκειν

---

*τὸν λόγ*: ῥίπτει τὸν λ. διηγεῖται.—*παραγενομένῳ*: ἐλθόντι.—*ὥστε προδραμεῖν τὴν φήμην*: ὥστε ἡ φήμη νὰ δράμη πρότερον ἐκείνου, ὅστις ἔπλασε τὸ ψεῦδος τοῦτο.—*αὐτῷ*: τῷ Ῥωμαίῳ.—*τοῦ τάχους*: διὰ τὴν ταχύτητα.—*τὸ καὶ φθάσαι με*: νὰ μὲ προλάβη ὁ λόγος.—*τιμωρούμενος*: θέλων νὰ ἐκδικηθῇ.—*διὰ τὴν σὴν ἀκρασίαν*: διότι δὲν ἔσχες ἐγκράτειαν εἰς τὸν λόγον.—*μετὰ τριακοσίων*: τῶν ἄλλων δηλ. συγκλητικῶν.—*σοῦ βιαζομένης*: ἐπειδὴ σὺ μὲ ἐβίαζες.—*ἀποπειρώμενος*: θέλων νά σε δοκιμάσω.

19. *ἐσκοπεῖτο*: ἐσκέπτετο.—*ἀπραγμονέστατα*: ὅσον τὸ δυνατὸν εὐκολώτατα.—*περινοστῶ*: περιέχομαι.—*ἐν τῷ μέρει*: διαδοχικῶς κατὰ σειράν.—*ἐργῶδες*: δυσχερές.—*τριβήν*: χρόνου δηλ.—*ἐπεβούλευε*: ἐμελέτα, ἐσκέπτετο.—*Ἐνίστανται οὖν Ὀλ.*: ἐπέρχεται ἡ ἑορτὴ τῶν Ὀλυμπίων, οἱ Ὀλυμπιακοὶ δηλ ἀγῶνες.—*οἱ*: ἑαυτῷ.

οἱ νομίσας τὸν καιρόν, οὗ μάλιστα ἐγλίχετο, πλήθουσαν τηρήσας τὴν πανήγυριν ἁπανταχόθεν ἤδη τῶν ἀρίστων συνειλεγμένων παρελθὼν ᾖδε τὰς ἱστορίας καὶ ἐκήλει τοὺς παρόντας ἄχρι τοῦ καὶ Μούσας κληθῆναι τὰς βίβλους αὐτοῦ ἐννέα καὶ αὐτὰς οὔσας. Ἤδη οὖν ἅπαντες αὐτὸν ᾔδεσαν πολλῷ μᾶλλον ἢ τοὺς Ὀλυμπιονίκας αὐτούς. καὶ οὐκ ἔστι, ὅστις ἀνήκοος ἦν τοῦ Ἡροδότου ὀνόματος οἱ μὲν αὐτοῦ ἀκούσαντες ἐν Ὀλυμπίᾳ, οἱ δὲ τῶν ἐκ τῆς πανηγύρεως ἡκόντων πυνθανόμενοι καὶ εἴ που γε φανείη μόνον, ἐδείκνυτο ἂν τῷ δακτύλῳ.

## Περὶ φιλίας.

### 25. Φιντίας καὶ Δάμων.

Διονυσίου τυραννοῦντος Φιντίας τις ἐπιβεβουλευκὼς τῷ τυράννῳ μέλλων δὲ τῆς τιμωρίας τυγχάνειν ᾐτήσατο παρὰ τοῦ Διονυσίου χρόνον εἰς τὸ περὶ τῶν ἰδίων πρότερον ἃ βούλεται διοικῆσαι· δώσειν δ' ἔφησεν ἐγγυητὴν τοῦ θανάτου τῶν φίλων ἕνα. Τοῦ δὲ δυνάστου θαυμάσαντος εἰ τοιοῦτός ἐστι φίλος, ὃς ἑαυτὸν εἰς τὴν εἱρκτὴν ἀντ' ἐκείνου παραδώσει, προσεκαλέσατο τινα τῶν γνωρίμων ὁ Φιντίας, Δάμωνα ὄνομα Πυθαγόρειον φιλόσοφον, ὃς οὐδὲ διστάσας ὑπέγγυος εὐθὺς ἐγένετο τοῦ θανάτου. Πρὸς δὲ τὴν τεταγμένην ὥραν ἅπας ὁ δῆμος συνέδραμε καραδοκῶν εἰ φυλάξει τὴν πίστιν ὁ καταστήσας. Ἤδη δὲ τῆς ὥρας συγκλειούσης, πάντες μὲν ἀπεγίγνωσκον, ὁ δὲ Φιντίας ἀνελπίστως ἐπὶ τῆς ἐσχάτης τοῦ χρόνου ῥοπῆς δρομαῖος ἦλθε, Δάμωνος ἀπαγομένου πρὸς τὴν ἀνάγκην. Θαυμαστῆς δὲ τῆς φιλίας φανείσης ἅπασιν, ἀπέλυσεν ὁ Διονύσιος τῆς τιμωρίας τὸν ἐγκαλούμενον καὶ παρεκάλεσε τοὺς ἄνδρας τρίτον ἑαυτὸν εἰς τὴν φιλίαν προσλαβέσθαι.

## Ἄλλο.

### 21. Εὐδαμίδας, Ἀρεταῖος, Χαρίξενος.

Εὐδαμίδας Κορίνθιος Ἀρεταίῳ τῷ Κορινθίῳ καὶ Χαριξένῳ τῷ

---

—*ἐγλίχετο*: σφόδρα ἐπεθύμει—*πλήθουσαν τηρήσας τὴν πανήγυριν*: καιροφυλακτήσας νὰ εἶνε πλήρης ἡ συνάθροισις.—*παρελθών*: ἐμφανισθείς.—*ἐκήλει*: ἔθελγεν, ἔτερπε.—*ἐδείκνυτο ἂν τῷ δακτύλῳ*: συνήθως ἐδακτυλοδεικτεῖτο.—20. *τυραννοῦντος*: Συρακούσαις τῆς Σικελίας.—*εἰς τό...διοικῆσαι*: εἰς τὸ νὰ κανονίσῃ δηλ. τὰς ὑποθέσεις του.—*ὁ καταστήσας*: τὸν Δάμωνα ἐγγυητήν, ὁ Φιντίας δηλ.—*ἀπεγίγνωσκον*: ἀπηλπίζοντο περὶ τῆς ἐπανόδου αὐτοῦ.—*εἰς τὴν ἀνάγκην*: εἰς τὸν θάνατον. 21. *ἐκδοῦναι*: νὰ ὑπανδρεύσῃ.—*παρ' αὐτοῦ*: ἐκ τῆς περιουσίας του.—*ἐν τοσούτῳ*: ἐν

Σικυωνίῳ φίλοις ἐκέχρητο εὐπόροις οὖσι πενέστατος αὐτὸς ὤν· ἐπεὶ δὲ ἀπέθνησκε, διαθήκας ἀπέλιπεν. Ἐγέγραπτο δ' ἐν αὐταῖς «καταλείπω Ἀρεταίῳ μὲν τὴν μητέρα μου τρέφειν καὶ γηροκομεῖν, Χαριξένῳ δὲ τὴν θυγατέρα μου ἐκδοῦναι μετὰ προικός, ὁπόσην ἂν πλείστην ἐπιδοῦναι παρ' αὐτοῦ δύνηται· ἢν δέ τι ὁ ἕτερος αὐτῶν ἐν τοσούτῳ πάθῃ, καὶ τὴν ἐκείνου μερίδα ἐχέτω ὁ ἕτερος.» Τούτων ἀναγνωσθεισῶν τῶν διαθηκῶν, οἱ τὴν πενίαν μὲν εἰδότες τοῦ Εὐδαμίδα τὴν φιλίαν δέ, ἡ πρὸς τοὺς ἄνδρας ἦν αὐτῷ, ἀγνοοῦντες ἐν παιδιᾷ τὸ πρᾶγμα ἐποιοῦντο καὶ οὐδεὶς ὅστις οὐ γελῶν ἀπηλλάττετο.

Οἱ κληρονόμοι δέ, οἷς ταῦτα κατελέλειπτο, ὡς ἤκουσαν, ἧκον εὐθὺς διαιτῶντες τὰ ἐκ τῶν διαθηκῶν. Ὁ μὲν οὖν Χαρίξενος πέντε μόνας ἡμέρας ἐπιβιοὺς ἀπέθανεν, ὁ δὲ Ἀρεταῖος ἄριστος κληρονόμων γενόμενος τήν τε αὑτοῦ καὶ τὴν ἐκείνου μερίδα παραλαβὼν τρέφει τε τοῦ Εὐδαμίδα τὴν μητέρα καὶ τὴν θυγατέρα ἐκδέδωκεν, ἀπὸ ταλάντων πέντε, ὧν εἶχε, δύο μὲν τῇ ἑαυτοῦ θυγατρὶ δύο δὲ τῇ τοῦ φίλου ἐπιδοὺς καὶ τὸν γάμον γε αὐταῖς ἐπὶ μιᾶς ἡμέρας ἠξίωσε γενέσθαι.

## Ἄλλο.

### 22. Εὐθύδικος καὶ Δάμων.

Ἔπλεέ ποτε ἐξ Ἰταλίας Εὐθύδικος καὶ μετ' αὐτοῦ Δάμων Χαλκιδεὺς ἑταῖρος αὐτοῦ· ἡλικιῶται δ' ἦσαν ὁ μὲν Εὐθύδικος ἐρρωμένος καὶ καρτερός, ὁ δὲ Δάμων ὕπωχρος καὶ ἀσθενικός, ἄρτι ἐκ νόσου μακρᾶς ἀνιστάμενος. Ἄχρι μὲν οὖν Σικελίας εὐτυχῶς διέπλευσαν· ἐπεὶ δὲ ἐν αὐτῷ ἤδη τῷ Ἰονίῳ ἔπλεον, χειμὼν μέγιστος ἐπέπεσεν αὐτοῖς. Καὶ τὰ μὲν πολλὰ τί ἂν τις λέγοι, τρικυμίας τινὰς καὶ στροβίλους καὶ χαλάζας καὶ ἄλλα ὅσα χειμῶνος κακά; Ἐπεὶ δὲ ἤδη κατὰ τὴν Ζάκυνθον ἦσαν, περὶ μέσας νύκτας ναυτιάσας ὁ Δάμων ἤμει ἐγκεκυφὼς εἰς τὴν θάλασσαν· εἶτα τῆς νεὼς βιαιότερον εἰς

---

τῷ μεταξύ.—*πάθῃ*: ἀποθάνῃ δηλ.—*ἐν παιδιᾷ ἐποιοῦντο*: ἐθεώρουν ὡς παιγνίδιον.—*ἀπηλλάττετο*: ἀπεχώρει (ἐκεῖθεν ὅπου αἱ διαθῆκαι ἀνεγνώσθησαν).—*διαιτῶντες τὰ ἐκ τῶν διαθηκῶν*: ἵνα κανονίσωσι τὴν ἐκτέλεσιν τῶν ὑπὸ τῆς διαθήκης παραγγελλομένων.—*ἐπιβιούς*: μετὰ τὸν θάνατον τοῦ Εὐδαμίδα ζήσας.

22. *κατὰ τὴν Ζάκυνθον*: ἀντικρὺ τῆς Ζακύνθου.—*ἐγκεκυφώς*: σκυμμένος.—*τοῦ*

ὅ ἐκεκύφει μέρος ἐπικλιθείσης καὶ τοῦ κύματος συναπώσαντος, ἐξέπεσεν ἐπὶ κεφαλὴν εἰς τὸ πέλαγος οὐδὲ γυμνὸς ὁ ἄθλιος, ὡς ἂν καὶ ῥᾷον δύνασθαι νεῖν· εὐθὺς οὖν ἐβόα πνιγόμενος καὶ μόγις ἑαυτὸν ὑπερέχων τοῦ κλύδωνος.

Ὁ δὲ Εὐθύδικος, ὡς ἤκουσεν,—ἔτυχε δὲ γυμνὸς ἐν τῇ εὐνῇ ὤν—ἔρριψεν ἑαυτὸν εἰς τὴν θάλατταν καὶ καταλαβὼν τὸν Δάμωνα ἤδη ἀπαγορεύοντα συμπαρενήχετο καὶ συνεκούφιζεν. Οἱ δ' ἐν τῇ νηὶ ἐπεθύμουν μὲν αὐτοῖς βοηθεῖν καὶ ἠλέουν τὴν συμφορὰν τῶν ἀνδρῶν, οὐκ ἠδύναντο δὲ μεγάλῳ τῷ πνεύματι ἐλαυνόμενοι· πλὴν ἐκεῖνά γε ἐποίησαν, φελλούς τε γὰρ πολλοὺς ἀφῆκαν αὐτοῖς καὶ τῶν κοντῶν τινας, ὡς ἐπὶ τούτων ἀπονήξαιντο, εἴ τινι αὐτῶν περιτύχοιεν, καὶ τέλος καὶ τὴν ἀποβάθραν αὐτὴν οὐ μικρὰν οὖσαν. Τὸ μὲν οὖν πρῶτον φελλοῖς τισι περιπεσόντες ἀνεῖχον ἐπὶ τούτων ἑαυτοὺς καὶ ἀπενήχοντο πονήρως, ὕστερον δὲ τὴν ἀποβάθραν ἰδόντες ἤδη πρὸς ἕω προσενήξαντό τε αὐτῇ καὶ τὸ λοιπὸν ἐπιβάντες εὐμαρῶς προσηνέχθησαν τῇ Ζακύνθῳ.

## Ἄλλο.

### 23. Ἀλέξανδρος. Ἡφαιστίων.

Ἡφαιστίων ἦν φίλος Ἀλεξάνδρῳ πιστός. Τούτου ἀποθανόντος, Ἀλέξανδρος τὸ πολὺ μέρος τῆς ἡμέρας ἐκείνης ἐρριμμένος ἐπὶ τοῦ σώματος τοῦ ἑταίρου ὠδύρετο καὶ οὐκ ἤθελεν ἀπαλλαγῆναι, πρίν γε δὴ πρὸς βίαν ἀπηνέχθη πρὸς τῶν ἑταίρων. Λέγεται δ' ὅτι καὶ τὸν ἰατρὸν Γλαυκίαν ἐκρέμασεν ὡς ἐπὶ φαρμάκῳ κακῶς δοθέντι. Ἐς τρίτην δὲ ἀπὸ τοῦ θανάτου ἡμέραν οὔτε σίτου ἐγεύσατο Ἀλέξανδρος,

---

*κύματος συναπώσαντος*: ἐπειδὴ συγχρόνως τὸ κῦμα ἔσπρωξε.—*ἐπὶ κεφαλήν*: κατακέφαλα.—*νεῖν*: νὰ κολυμβᾷ.—*μόγις*: μετὰ δυσκολίας.—*ἑαυτόν...τοῦ κλύδωνος*: κρατούμενος ἄνωθεν τῶν κυμάτων.—*εὐνῇ*: κλίνῃ—*ἀπαγορεύοντα*: ἀποκάμνοντα.—*συμπαρενήχετο*: ἐκολύμβα παρ' αὐτῷ.—*συνεκούφιζε*: τὸν ἠλάφρωνε, τὸν ἐβοήθει δηλ. εἰς τὸ κολυμβᾶν.—*τῷ πνεύματι*: τῷ ἀνέμῳ —*ἐπὶ τούτων ἀπονήξαιντο*: στηριζόμενοι ἐπ' αὐτῶν σωθῶσι κολυμβῶντες.—*πονήρως*: μετὰ κόπου.—*εὐμαρῶς*: εὐκόλως.

23. *ἀπαλλαγῆναι*: νὰ ἀπομακρυνθῇ.—*πρὸς βίαν*: διὰ τῆς βίας.—*ἀπηνέχθη*: τὸν ἀπεμάκρυναν.—*ὡς ἐπὶ φαρμάκῳ...*: νομίζων ὅτι ἔδωκεν εἰς αὐτὸν φάρμακον κακῶς, ἀνάρμοστον δηλ. εἰς τὴν νόσον.—*ἐς τρίτην*: μέχρι τῆς τρίτης.—*πυρὰν*

οὔτε τινὰ θεραπείαν ἄλλην ἐθεράπευσε τὸ σῶμα, ἀλλ' ἔκειτο ἢ ὀδυρόμενος ἢ πενθικῶς σιγῶν. Καὶ πυρὰν ἐκέλευσεν ἑτοιμάζεσθαι αὐτῷ ἐν Βαβυλῶνι ἀπὸ ταλάντων μυρίων καὶ παρήγγειλε κατὰ πᾶσαν τὴν χώραν πένθος ποιεῖσθαι.

Ἀγῶνά τε ἐποίησε γυμνικόν τε καὶ μουσικὸν τρισχιλίους ἀγωνιστὰς τοὺς σύμπαντας παρασκευάσας. Κατεσκεύασε δὲ καὶ ἡρῷον ἐν Ἀλεξανδρείᾳ μεγέθει τε μέγιστον καὶ πολυτελείᾳ ἐκπρεπέστατον.

## Ἄλλο.

### 24. Δημήτριος, Ἀντίφιλος.

Δημήτριος Σουνιεὺς συνεξέπλευσεν εἰς τὴν Αἴγυπτον Ἀντιφίλῳ τῷ Ἀλωπεκῆθεν ἑταίρῳ ἐκ παίδων ὄντι καὶ συνεφήβῳ. Καὶ δή ποτε ὁ μὲν Δημήτριος ἔτυχεν εἰς τὴν Αἴγυπτον ἀποδημῶν κατὰ θέαν τῶν πυραμίδων καὶ τὸν Ἀντίφιλον ἀπολιπών. Ὁ δὲ ἐν τοσούτῳ συμφορᾷ ἐχρήσατο μάλα γενναίου τινὸς φίλου δεομένῃ· οἰκέτης γὰρ αὐτοῦ Σύρος καὶ τοὔνομα καὶ τὴν πατρίδα ἱεροσύλοις τισὶ κοινωνήσας συνεισῆλθέ τε αὐτοῖς εἰς ναὸν καὶ ἀποσυλήσαντες τὸν θεὸν χρυσᾶς τε φιάλας δύο καὶ ἄλλα τοιαῦτα κατέθεντο πάντα παρὰ τῷ Σύρῳ· εἶτα ἐμπεσόντες—ἑάλωσαν γάρ τι ἀπεμπολῶντες—ἅπαντα εὐθὺς ἔλεγον στρεβλούμενοι ἐπὶ τοῦ τροχοῦ καὶ ἀγόμενοι ἧκον ἐπὶ τὴν οἰκίαν τοῦ Ἀντιφίλου καὶ τὰ φώρια ἐξέφερον ὑπὸ κλίνῃ τινὶ ἐν σκοτεινῷ κείμενα. Ὅτε οὖν Σύρος ἐδέδετο εὐθὺς καὶ ὁ δεσπότης αὐτοῦ Ἀντίφιλος, ἐβοήθει δὲ οὐδείς, ἀλλὰ καὶ οἱ τέως ἑταῖροι ἀπεστρέφοντο ὡς τὸν ναὸν σεσυληκότα. Καὶ οἱ λοιποὶ δὲ τῶν οἰκετῶν δύο ὄντες ἅπαντα ἐκ τῆς οἰκίας συσκευασάμενοι ᾤχοντο φεύγοντες.

---

ἵνα καύσωσι τὸ σῶμα τοῦ Ἡφαιστίωνος.-*ἀπὸ ταλάντων μυρίων*:διὰ τοὺς νεκροὺς τῶν πλουσίων κατεσκευάζοντο πυραὶ πολυτελεῖς· ἐκτίζετο δηλ. αὕτη καὶ ἐξελέγοντο ξύλα ἀρωματώδη κλπ.-*ἡρῷον* : ναὸν δηλ. τοῦ ἥρωος.

24. *Ἀλωπεκῆθεν*: ἐκ τῆς Ἀλωπεκῆς, δήμου τῆς Ἀττικῆς.— *κατὰ θέαν*; ἵνα θεάσηται, ἴδῃ.—*ἐν τοσούτῳ*:κατὰ τὸ διάστημα τῆς ἀπουσίας τοῦ Δημητρίου.·*συμφορᾷ ἐχρήσατο*: περιέπεσεν εἰς συμφοράν.—*Σύρος*: ἐκ Συρίας τῆς Ἀσίας.—*ἐμπεσόντες*· δηλ. εἰς τὸ δεσμωτήριον ῥιφθέντες.—*ἑάλωσαν γάρ τι ἀπεμπολῶντες*· διότι εἶχον συλληφθῆ πωλοῦντές τι(ἐκ τῶν κλοπιμαίων).-*τι*:τῶν κλοπιμαίων.-*τὰ φώρια*: τὰ κλοπιμαῖα.—*ὡς σεσυληκότα* :νομίζοντες ὅτι ἦτο ἱερόσυλος.-*ἅπαντα... συσκευασάμενοι*:πάντα τὰ σκεύη τῆς οἰκίας συσκευάσαντες καὶ παραλαβόντες ἀπῆλ-

Ἐδέδετο οὖν ὁ ἄθλιος Ἀντίφιλος πολὺν ἤδη χρόνον, ἁπάντων ὅσοι ἦσαν κακοῦργοι ἐν τῷ δεσμωτηρίῳ μιαρώτατος εἶναι δοκῶν· καὶ ὁ ἐπὶ τῶν δεσμῶν Αἰγύπτιος, δεισιδαίμων ἄνθρωπος, ᾤετο χαριεῖσθαι τῷ θεῷ βαρὺς τῷ Ἀντιφίλῳ ἐφεστώς. Εἰ δ' ἀπολογοῖτό ποτε λέγων ὡς οὐδὲν τοιοῦτον εἴργασται, ἀναίσχυντος ἐδόκει καὶ πολλὰ πλέον ἐπὶ τούτῳ ἐμισεῖτο. Ὑπενόει οὖν ἤδη καὶ πονήρως εἶχεν οἷον εἰκὸς χαμαὶ καθεύδοντα καὶ τῆς νυκτὸς οὐδὲ ἀποτείνειν τὰ σκέλη δυνάμενον ἐν τῷ ξύλῳ κατακεκλεισμένα. Καὶ μὴν καὶ τοῦ οἰκήματος ἡ δυσοσμία καὶ τὸ πνῖγος ἐν ταὐτῷ πολλῶν δεδεμένων καὶ στενοχωρουμένων καὶ μόλις ἀναπνεόντων καὶ τοῦ σιδήρου ὁ ψόφος καὶ ὕπνος ὀλίγος ταῦτα πάντα χαλεπὰ ἦν καὶ ἀφόρητα ἀνδρὶ ἐκείνων ἀήθει.

Ἀπαγορεύοντος δὲ αὐτοῦ καὶ μηδὲ σῖτον αἱρεῖσθαι θέλοντος, ἀφικνεῖταί ποτε καὶ ὁ Δημήτριος οὐδὲν εἰδὼς τῶν ἤδη γεγενημένων. Καὶ ἐπειδὴ ἔμαθεν, εὐθὺς ἐπὶ τὸ δεσμωτήριον δρομαῖος ἐλθὼν τότε μὲν οὐκ εἰσεδέχθη, ἑσπέρα γὰρ ἦν καὶ ὁ δεσμοφύλαξ πάλαι κεκλεικὼς τὴν θύραν ἐκάθευδε, φρουρεῖν τοῖς οἰκέταις παρακελευσάμενος· ἕωθεν δὲ εἰσέρχεται πολλὰ ἱκετεύσας· καὶ παρελθὼν ἐπὶ πολὺ μὲν ἐζήτει τὸν Ἀντίφιλον ἄδηλον ὑπὸ τῶν κακῶν γεγενημένον καὶ περιιὼν ἀνεσκοπεῖτο καθ' ἕκαστον τῶν δεδεμένων. Καὶ εἴ γε μὴ τοὔνομα ἐβόησεν Ἀντίφιλον Δεινομένους, κἂν ἐπὶ πολὺ ἠγνόησεν ἂν ὅστις ἦν, τοσοῦτον ἤλλακτο ὑπὸ τῶν δεινῶν. Ὡς δὲ τὴν φωνὴν αἰσθόμενος ἀνεβόησε καὶ προσιόντος διαστείλας τὴν κόμην καὶ ἀπαγαγὼν τοῦ προσώπου αὐχμηρὰν ἔδειξεν αὐτὸν ὅστις ἦν, ἄμφω μὲν αὐτίκα πίπτουσιν ἰλιγγιάσαντες ἐπὶ τῇ ἀπροσδοκήτῳ θέᾳ· χρόνῳ δὲ ἀναλαβὼν αὑτόν τε καὶ τὸν Ἀντίφιλον ὁ Δημήτριος καὶ σαφῶς ἕκαστα ὡς εἶχεν ἐκπυθόμενος παρ' αὐτοῦ, θαρρεῖν τε παρακελεύεται καὶ διελὼν τὸ τριβώ-

---

θον ἐξ αὐτῆς.—*ὁ ἐπὶ τῶν δεσμῶν*: ὁ δεσμοφύλαξ.—*χαριεῖσθαι*· ὅτι θὰ εὐχαριστήσῃ. *βαρὺς*: αὐστηρός.—*καὶ πονήρως εἶχε*...καὶ εὑρίσκετο εἰς κακὴν κατάστασιν.—*οἷον εἰκός*: ὡς ἦτο φυσικόν.—*οὐδὲ ἀποτείνειν τὰ σκέλη*: οὐδὲ νὰ τεντώσῃ τοὺς πόδας.—*ἐκείνων ἀήθει*: ἀσυνήθιστον εἰς ἐκεῖνα.—*ἀπαγορεύοντος*: ἐν ᾧ ἀπέκαμνεν.—*οὐκ εἰσεδέχθη*· δὲν ἐγένετο δεκτός· δὲν ἐπετράπη εἰς αὐτὸν νὰ εἰσέλθῃ.—*ἄδηλον*: ἀγνώριστον.—*ἀνεσκοπεῖτο*: ἐξήταζε παρετήρει,—*προσιόντος*: τοῦ Δημητρίου.—*διαστείλας*: ὁ Ἀντίφιλος.—*ἀπαγαγὼν* ἀπομακρύνας (ἀπὸ τοῦ προσώπου τὴν κόμην.) —*ἰλιγγιάσαντες*: ζαλισθέντες· καταπλαγέντες.—*διελὼν τὸ τριβώνιον*: σχίσας εἰς δύο τὸ ἱμάτιόν του.—*ἀναβάλλεται*· ἐνδύεται.=*πιναρά*: ῥυπαρά.—*ἐκτετρυχωμένα*: κου-

νιον τὸ μὲν ἥμισυ αὐτὸς ἀναβάλλεται, τὸ λοιπὸν δ' ἐκείνῳ δίδωσιν, ἃ εἶχε πιναρὰ καὶ ἐκτετρυχωμένα ῥάκη περισπάσας.

Καὶ τὸ ἀπὸ τούτου πάντα τρόπον συνῆν ἐπιμελούμενος αὐτοῦ καὶ θεραπεύων· παραδοὺς γὰρ ἑαυτὸν τοῖς ἐν τῷ λιμένι ἐμπόροις ἕωθεν εἰς μέσην ἡμέραν οὐκ ὀλίγον ἀπέφερεν ἀχθοφορῶν. Εἶτ' ἐπανελθὼν ἂν ἐκ τοῦ ἔργου μέρος μὲν τοῦ μισθοῦ τῷ δεσμοφύλακι καταβαλὼν τιθασὸν αὐτῷ καὶ εἰρηνικὸν ἀπειργάζετο αὐτόν, τὸ λοιπὸν δὲ εἰς τὴν τοῦ φίλου θεραπείαν ἱκανῶς αὐτῷ διήρκει. Καὶ τὰς μὲν ἡμέρας παρῆν τῷ Ἀντιφίλῳ παραμυθούμενος, ἐπεὶ δὲ νὺξ καταλάβοι, ὀλίγον πρὸ τῆς θύρας τοῦ δεσμωτηρίου στιβάδιόν τι ποιησάμενος καὶ φύλλα ὑποβαλλόμενος ἀνεπαύετο. Χρόνον μὲν οὖν τινα οὕτω διῆγον, εἰσιὼν μὲν ὁ Δημήτριος ἀκωλύτως, ῥᾷον δὲ φέρων τὴν συμφορὰν ὁ Ἀντίφιλος.

Ὕστερον δὲ ἀποθανόντος ἐν τῷ δεσμωτηρίῳ λῃστοῦ τινος ὑπὸ φαρμάκων, φυλακή τε ἀκριβὴς ἐγένετο καὶ οὐκέτι παρῄει εἰς τὸ οἴκημα οὐδὲ εἷς τῶν δεομένων. Ἐφ' οἷς ἀπορῶν καὶ ἀνιώμενος οὐκ ἔχων ἄλλως παρεῖναι τῷ ἑταίρῳ προσαγγέλλει ἑαυτὸν ἐλθὼν εἰς τὸν ἁρμοστήν, ὡς εἴη κεκοινωνηκὼς τῆς ἱεροσυλίας. Ὡς δὲ τοῦτο εἶπεν, ἀπήγετο εὐθὺς εἰς τὸ δεσμωτήριον καὶ ἀχθεὶς παρὰ τὸν Ἀντίφιλον — τοῦτο γοῦν μόλις πολλὰ ἱκετεύσας τὸν δεσμοφύλακα ἐξειργάσατο παρ' αὐτοῦ πλησίον τῷ Ἀντιφίλῳ καὶ ὑπὸ τῷ αὐτῷ κλοιῷ δεδέσθαι — ἔνθα δὴ καὶ μάλιστα ἔδειξε τὴν εὔνοιαν ἣν εἶχε πρὸς αὐτὸν ἀμελῶν μὲν τῶν καθ' ἑαυτὸν δεινῶν, καίτοι ἐνόσησε καὶ αὐτός, ἐπιμελούμενος δὲ ὅπως ἐκεῖνος μάλιστα καθευδήσει καὶ ἧττον ἀνιάσεται· ὥστε ῥᾷον ἔφερον μετ' ἀλλήλων κακοπαθοῦντες.

Χρόνῳ δὲ καὶ τοιόνδε τι προσπεσὸν ἔπαυσεν ἐπὶ πλέον αὐτοὺς δυστυχοῦντας· εἷς γὰρ τῶν δεδεμένων ῥίνης εὐπορήσας καὶ συνωμότας πολλοὺς τῶν δεσμωτῶν προσλαβὼν ἀποπρίει τε τὴν ἅλυσιν, ᾗ ἐδέδεντο ἑξῆς, καὶ ἀπολύει ἅπαντας· οἱ δὲ ἀποκτείναντες εὐμαρῶς ὀλίγους ὄντας τοὺς φύλακας ἐκπηδῶσιν ἀθρόοι. Ἐκεῖνοι μὲν οὖν τὸ παραυτίκα, ἔνθα ἐδύναντο ἕκαστος, διασπαρέντες ὕστερον συνελήφθησαν οἱ

---

ρελιασμένα. — *περισπάσας*: ἀφαιρέσας, ἀποσπάσας. — *ἀπέφερε*: μισθὸν ἐλάμβανεν. — *τιθασόν*: ἥμερον. — *διήρκει*: ἐπήρκει *στιβάδιον*: καὶ στιβάς· στρῶμα ἐκ χόρτου, ἀχύρου καλάμου, φύλλων. — *φαρμάκων*: δηλητηρίου. — *ἁρμοστήν*: διοικητὴν τῆς χώρας. — *ἐξειργάσατο*: ἐπέτυχεν. — *ἀποπρίει*: ἀποκόπτει διὰ τῆς ῥίνης. - *ἑξῆς*: κατὰ σειράν. —

πολλοί· ὁ Δημήτριος δὲ καὶ ὁ Ἀντίφιλος κατὰ χώραν ἔμειναν. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, μαθὼν ὁ τὴν Αἴγυπτον ἐπιτετραμμένος τὸ συμβεβηκὸς ἐπ' ἐκείνους μὲν ἔπεμψε τοὺς διωξομένους, μεταστειλάμενος δὲ τὸν Δημήτριον καὶ Ἀντίφιλον ἀπέλυσε τῶν δεσμῶν ἐπαινέσας ὅτι μόνοι οὐκ ἀπέδρασαν· ἀλλ' οὐκ ἐκεῖνοι ἠγάπησαν οὕτως ἀφιέμενοι, ἐβόα δὲ ὁ Δημήτριος ἀδικεῖσθαι σφᾶς οὐ σμικρά, εἰ δόξουσι κακοῦργοι ὄντες ἐλέῳ ἢ ἐπαίνῳ τοῦ μὴ ἀποδρᾶναι ἀφεῖσθαι· καὶ τέλος ἠνάγκασαν τὸν δικαστὴν ἀκριβῶς τὸ πρᾶγμα ἐξετάσαι. Ὁ δὲ ἐπεὶ ἔμαθεν οὐδὲν ἀδικοῦντας, ἐπαινέσας αὐτοὺς τὸν Δημήτριον δὲ καὶ πάνυ θαυμάσας ἀφίησι παραμυθησάμενος ἐπὶ τῇ κολάσει, ἣν ἠνέσχοντο ἀδίκως δεθέντες, καὶ ἑκάτερον δωρησάμενος παρ' αὐτοῦ δραχμαῖς μὲν μυρίαις τὸν Ἀντίφιλον, δὶς τοσαύταις δὲ τὸν Δημήτριον.

## 25. Ὁ βασιλεὺς τῶν Περσῶν περὶ γεωργίας.

Ὁ Περσῶν βασιλεὺς ἐν τοῖς καλλίστοις καὶ ἀναγκαιοτάτοις ἐπιμελήμασιν ἡγεῖται εἶναι τὴν γεωργίαν καὶ ἰσχυρῶς αὐτῆς ἐπιμελεῖται. Καὶ μέρος μὲν τῆς χώρας διελαύνων ἐφορᾷ αὐτὸς καὶ δοκιμάζει, ὁπόσην δὲ μὴ αὐτὸς ἐφορᾷ πέμπων πιστοὺς ἐπισκοπεῖται. Καὶ οὓς μὲν ἂν αἰσθάνηται τῶν ἀρχόντων συνοικουμένην τε τὴν χώραν παρεχομένους καὶ ἐνεργὸν οὖσαν τὴν γῆν καὶ πλήρη δένδρων τε ὧν ἑκάστη φέρει καὶ καρπῶν, τούτοις μὲν χώραν τε ἄλλην προστίθησι καὶ δώροις κοσμεῖ· οἷς δ' ἂν ὁρᾷ ἀργόν τε τὴν χώραν οὖσαν καὶ ὀλιγάνθρωπον ἢ διὰ χαλεπότητα ἢ δι' ὕβριν ἢ δι' ἀμέλειαν, τούτους κολάζων καὶ παύων τῆς ἀρχῆς ἄρχοντας ἄλλους καθίστησι.

## 26. Φιλοπονία Κύρου τοῦ νεωτέρου.

Λύσανδρος ἀφίκετο παρὰ Κῦρον εἰς Σάρδεις. Κῦρος δὲ φιλοφρονούμενος ἐπεδείκνυεν αὐτῷ τὸν παράδεισον. Λύσανδρος δ' ἐθαύμαζεν

---

—*ὁ τὴν Αἴγυπτον ἐπιτετραμμένος*: ἐκεῖνος εἰς ὃν εἶχεν ἀνατεθῆ ἡ διοίκησις τῆς Αἰγύπτου.—*μεταστειλάμενος*: στείλας καὶ προσκαλέσας.—*οὐκ ἠγάπησαν*: δὲν ηὐχαριστήθησαν.—*κακοῦργοι ὄντες..ἀφεῖσθαι*: ὅτι, ἐν ᾧ ἦσαν κακοῦργοι, ἀπελύθησαν.—*παραμυθησάμενος*: παρηγορήσας.—25. *ἰσχυρῶς*: σφόδρα.—*ἐνεργόν*: καλλιεργημένην.—*ἀργόν*: ἀκαλλιέργητον—*διὰ χαλεπότητα*.—ἕνεκα σκληρότητος (τῶν ἀρχόντων).
26. *ἐξ ἴσου δὲ πεφυτευμένα*: εἰς ἴσα δὲ διαστήματα ἀπ' ἀλλήλων φυτευμένα.—

αὐτόν, ὡς καλὰ μὲν τὰ δένδρα εἴη ἐξ ἴσου δὲ πεφυτευμένα ὀσμαὶ δὲ πολλαὶ καὶ ἡδεῖαι συμπαρομαρτοῖεν αὐτοῖς περιπατοῦσι, καὶ ταῦτα θαυμάζων εἶπεν «ἀλλ' ἐγώ τοι, ὦ Κῦρε, πάντα μὲν ταῦτα θαυμάζω ἐπὶ τῷ κάλλει, πολὺ δὲ μᾶλλον ἄγαμαι τοῦ καταμετρήσαντός σοι καὶ διατάξαντος ἕκαστα τούτων». Ἀκούσας δὲ ταῦτα Κῦρος ἥσθη καὶ εἶπε· «ταῦτα τοίνυν, ὦ Λύσανδρε, ἐγὼ πάντα διεμέτρησα καὶ διέταξα ἔνια δὲ καὶ ἐφύτευσα αὐτός».

Καὶ ὁ Λύσανδρος ἀποβλέψας εἰς αὐτὸν καὶ ἰδὼν τῶν τε ἱματίων τὸ κάλλος ὧν εἶχε καὶ τῆς ὀσμῆς αἰσθανόμενος καὶ τῶν στρεπτῶν καὶ τῶν ψελλίων τὸ κάλλος καὶ τοῦ ἄλλου κόσμου οὗ εἶχεν, εἶπεν· «τί λέγεις, ὦ Κῦρε; ἦ γὰρ σὺ ταῖς σαῖς χερσὶ τούτων τι ἐφύτευσας;» Καὶ ὁ Κῦρος ἀπεκρίνατο· «θαυμάζεις τοῦτο, ὦ Λύσανδρε; Ὄμνυμί σοι τὸν Μίθρην, ὅταν περ ὑγιαίνω, μηπώποτε δειπνῆσαι πρὶν ἱδρῶσαι ἢ τῶν πολεμικῶν τι ἢ τῶν γεωργικῶν ἔργων μελετῶν, ἢ ἀεὶ ἕν γε τι φιλοτιμούμενος.» Καὶ ὁ Λύσανδρος δεξιωσάμενος αὐτὸν εἶπε· «δικαίως μοι δοκεῖς, ὦ Κῦρε, εὐδαίμων εἶναι· ἀγαθὸς γὰρ ὢν ἀνὴρ εὐδαιμονεῖς».

## 27. Τιμολέων.

Τιμολέων μέγιστα καὶ κάλλιστα τῶν καθ' ἑαυτὸν Ἑλλήνων διαπραξάμενος ἔργα ἤδη πρεσβύτερος ὢν ἀπημβλύνθη τὴν ὄψιν εἶτα τελέως ἐπηρώθη μετ' ὀλίγον. Συρακόσιοι δὲ ἐτίμων τὸν ἄνδρα φοιτῶντες ἐπὶ θύρας αὐτοὶ καὶ τῶν ξένων τοὺς παρεπιδημοῦντας ἄγοντες εἰς τὴν οἰκίαν, ὅπως θεάσαιντο τὸν εὐεργέτην αὐτῶν. Ἐπὶ δὲ τὰς μεγάλας διασκέψεις ἐκεῖνον ἐκάλουν. Ὁ δὲ κομιζόμενος δι' ἀγορᾶς ἐπὶ

---

*συμπαρομαρτοῖεν* : ἠκολούθουν.—*ἄγαμαι* : θαυμάζω.—*διατάξαντος* : ταχτοποιήσαντος.—*ἥσθη* : εὐχαριστήθη.—*αὐτός*: μὲ τὰς χεῖράς μου.—*τῆς ὀσμῆς* : τῆς ἀναδιδομένης ἐκ τῶν ἀρωμάτων, ἅτινα ἐφόρει ὁ Κῦρος.—*στρεπτῶν*: τῶν περιδεραίων.—*ἦ*: τῷ ὄντι, ἀληθῶς.—*Μίθρην*: οὕτως ἐκάλουν οἱ Πέρσαι τὸν ἥλιον, ὅν ἐλάτρευον ὡς ὑπέρτατον θεόν.—*μελετῶν*: ἀσκούμενος.—*ἕν γέ τι φιλοτιμούμενος*: μετὰ σπουδῆς ἀσχολούμενος περί τι.—*δεξιωσάμενος* : λαβὼν τὴν δεξιάν.—27. *Τιμολέων*: —μέγας Κορίνθιος στρατηγὸς ἐλευθερώσας τὴν Σικελίαν ἀπὸ τῶν τυράννων.—*τῶν καθ' ἑαυτόν* : τῶν συγχρόνων.—*ἀπημβλύνθη* : ἔχασε τὴν ὀξύτητα τῆς ὁράσεώς του.—*ἐπηρώθη*: ἔχασε δηλ. ἐντελῶς τὴν ὅρασίν του.—*ἐκάλουν*: ἵνα συμβουλεύσῃ.—*ἐπὶ ζεύγους*: ἐπὶ ἁμάξης.—*πρὸς τὸ θέατρον*: ἔνθα συνήρχετο ἡ ἐκκλησία τῶν Συ-

ζεύγους πρὸς τὸ θέατρον ἐπορεύετο· καὶ τῆς ἀπήνης ὥσπερ ἐτύγχανε καθήμενος εἰσαγομένης, ὁ μὲν δῆμος ἠσπάζετο μιᾷ φωνῇ προσαγορεύων αὐτόν, ὁ δὲ ἀντασπασάμενος καὶ χρόνον τινὰ δοὺς ταῖς εὐφημίαις καὶ τοῖς ἐπαίνοις εἶτα διακούσας τὸ ζητούμενον ἀπεφαίνετο γνώμην. Εἶτα δὲ πάλιν οἱ μὲν ὑπηρέται ἀπῆγον διὰ τοῦ θεάτρου τὸ ζεῦγος, οἱ δὲ πολῖται βοῇ καὶ κρότῳ προέπεμπον ἐκεῖνον.

Ἐν τοιαύτῃ δὲ γηροτροφούμενος τιμῇ μετ᾽ εὐνοίας ὥσπερ πατὴρ κοινὸς ἐτελεύτησεν. Προὔπεμψαν δὲ τὸν νεκρὸν πολλαὶ μυριάδες ἀνδρῶν καὶ γυναικῶν, τὸ δὲ λέχος κεκοσμημένον οἱ ψήφῳ τῶν νεανίσκων προκριθέντες ἔφερον, φωναὶ δὲ καὶ δάκρυα ἐπεδείκνυον ἀληθινὴν εὔνοιαν. Ἐποιήσαντο δὲ τὴν ταφὴν τοῦ σώματος ἐν ἀγορᾷ καὶ στοὰς ὕστερον περιβαλόντες καὶ παλαίστρας ἐνοικοδομήσαντες γυμνάσιον τοῖς νέοις ἐποίησαν καὶ Τιμολεόντειον προσηγόρευσαν.

## 28. Σόλων καὶ Κροῖσος.

Σόλων δεηθέντος Κροίσου εἰς Σάρδεις παρεγένετο κἀκεῖ ἔπαθε παραπλήσιον ἀνδρὶ χερσαίῳ κατιόντι πρῶτον ἐπὶ θάλατταν. Ἐκεῖνός τε γὰρ ὁρῶν ἄλλον ἐξ ἄλλου ποταμὸν ᾤετο τὴν θάλασσαν εἶναι· καὶ τῷ Σόλωνι τὴν αὐλὴν διαπορευομένῳ καὶ πολλοὺς ὁρῶντι τῶν βασιλικῶν κεκοσμημένους πολυτελῶς ἕκαστος ἐδόκει Κροῖσος εἶναι. Τέλος δὲ πρὸς αὐτὸν ἤχθη λίθοις τε καὶ χρυσῷ κεκοσμημένον, ὡς δὴ θέαμα σεμνότατον ὀφθείη καὶ ποικιλώτατον.

Ἐπεὶ δ᾽ ὁ Σόλων ἄντικρυς καταστὰς οὔτ᾽ ἔπαθεν οὐδὲν οὔτ᾽ εἶπε πρὸς τὴν ὄψιν ὧν ὁ Κροῖσος προσεδόκησεν, ἀλλὰ καὶ δῆλος ἦν τοῖς εὖ φρονοῦσι τῆς ἀπειροκαλίας καὶ μικροπρεπείας καταφρονῶν, ἐκέλευσεν αὐτῷ τοὺς θησαυροὺς ἀνοῖξαι τῶν χρημάτων καὶ τὴν ἄλλην πολυτέλειαν ἐπιδεῖξαι.

---

ρακοσίων.—*τῆς ἀπήνης*: τῆς ἁμάξης.—*ἠσπάζετο* : ἐδεξιοῦτο, ἐχαιρέτιζεν.—*καὶ χρόνον τινὰ δοὺς...* καὶ ἀφήσας ἐπ᾽ ὀλίγον χρόνον νὰ ἐξακολουθήσωσιν αἱ ἐπευφημίαι καὶ οἱ ἔπαινοι.—*κρότῳ*: τῶν χειρῶν.—*ἐν τοιαύτῃ δὲ γηροτροφούμενος τιμῇ*: τρεφόμενος δὲ εἰς τὸ γῆράς του μὲ τοιαύτην τιμήν.

28. *δεηθέντος*: τῇ παρακλήσει.—*κατιόντι πρῶτον*: ὅστις κατέρχεται πρώτην φοράν.—*ἐκεῖνος*: ὁ χερσαῖος.—*ὁρῶν ἄλλον ἐξ ἄλλου...* βλέπων τὴν θάλασσαν ἐνόμιζεν ὅτι εἶνε ποταμὸς ἄλλος ἔχων τὰς πηγάς του ἐξ ἄλλου ποταμοῦ.—*τὴν αὐλήν*: τοῦ Κροίσου.—*οὔτ᾽ ἔπαθε... πρὸς τὴν ὄψιν* : δὲν ἐταράχθη, δὲν συνεκινήθη, δὲν

Ὡς δ' οὖν αὖθις ἤχθη γεγονὼς ἁπάντων θεατής, ἠρώτησεν αὐτὸν ὁ Κροῖσος, εἴ τινα εἶδεν ἄνθρωπον αὐτοῦ μακαριώτερον. Σόλων δ' ἀπεφήνατο ὅτι εἶδε Τέλλον, αὐτοῦ πολίτην καὶ διεξῆλθεν ὅτι χρηστὸς ἀνὴρ ὁ Τέλλος γενόμενος καὶ παῖδας εὐδοκίμους ἀπολιπὼν καὶ βίον οὐδενὸς ἐνδεᾶ τῶν ἀναγκαίων ἐτελεύτησεν ἐνδόξως ἀριστεύσας ὑπὲρ τῆς πατρίδος. Ἐδόκει δὲ τῷ Κροίσῳ ἀλλόκοτος μὲν καὶ ἄγροικος εἶναι, εἰ μὴ πρὸς ἀργύριον πολὺ μηδὲ χρυσίον τῆς εὐδαιμονίας ποιεῖται τὴν ἀναμέτρησιν, ἀλλὰ δημοτικοῦ καὶ ἰδιώτου βίον καὶ θάνατον ἀνθρώπου μᾶλλον ἢ τοσαύτην ἀγαπῴη δύναμιν καὶ ἀρχήν.

Οὐ μὴν ἀλλὰ καὶ πάλιν ἠρώτησεν αὐτόν, εἰ μετὰ Τέλλον ἄλλον ἔγνωκεν ἄνθρωπον εὐδαιμονέστερον. Σόλων δὲ πάλιν εἶπεν εἰδέναι Κλέοβιν καὶ Βίτωνα φιλαδέλφους καὶ φιλομήτορας διαφερόντως ἄνδρας, οἳ τὴν μητέρα, τῶν βοῶν βραδυνόντων ὑποδύντες αὐτοὶ τῷ ζυγῷ τῆς ἁμάξης, ἐκόμισαν πρὸς τὸ τῆς Ἥρας ἱερὸν εὐδαιμονιζομένην ὑπὸ τῶν πολιτῶν καὶ χαίρουσαν, εἶτα θύσαντες καὶ πιόντες οὐκέτι μεθ' ἡμέραν ἀνέστησαν, ἀλλ' ἐπὶ τοσαύτῃ δόξῃ ἀναλγῆ καὶ ἄλυπον θάνατον ἔσχον.

Κροῖσος δ' ὀργισθεὶς «ἡμᾶς δ'» εἶπεν «εἰς οὐδένα τιθεῖς εὐδαιμόνων ἀριθμὸν ἀνθρώπων;» Καὶ ὁ Σόλων οὔτε κολακεύειν αὐτὸν βουλόμενος οὔτε περαιτέρω παροξύνειν εἶπεν· «ὦ βασιλεῦ Λυδῶν, ἡμῖν τοῖς Ἕλλησι σοφία τίς ἐστιν, ἣ ὁρῶσα τύχαις παντοδαπαῖς χρώμενον ἀεὶ τὸν βίον οὐκ ἐᾷ τοῖς παροῦσιν ἀγαθοῖς μέγα φρονεῖν οὐδὲ θαυμάζειν ἀνδρὸς εὐτυχίαν μεταβολῆς χρόνον ἔχουσαν· ᾧ δὲ εἰς τέλος ὁ θεὸς ἔθετο τὴν εὐπραξίαν, τοῦτον ἡμεῖς εὐδαίμονα νομίζομεν. Ὁ δὲ ζῶντος ἔτι καὶ κινδυνεύοντος ἐν τῷ βίῳ μακαρισμὸς ἀβέβαιός ἐστιν». Ταῦτ'

---

ἐθαύμασε τὸ θέαμα τὸ πολυτελές.— *ἐκέλευσε*: προσέταξεν ὁ Κροῖσος τοὺς θεράποντας —*ἤχθη*: ὡδηγήθη πρὸ τοῦ Κροίσου μετὰ τὴν ἐπίσκεψιν τῶν θησαυρῶν.—*πολίτην*: συμπολίτην· Ἀθηναῖον δηλ.—*διεξῆλθε*: διηγήθη.—*βίον*: περιουσίαν.— *ἐδόκει*: ὁ Σόλων.— *μή...ποιεῖται τὴν ἀναμέτρησιν*: δὲν μετρεῖ τὴν εὐδαιμονίαν ἀναλόγως τοῦ πλήθους τοῦ χρυσίου καὶ ἀργυρίου.— *διαφερόντως*: καθ' ὑπερβολήν.— *τῶν βραδυνόντων*: ἐπειδὴ οἱ βόες (οἱ μέλλοντες νὰ ζευχθῶσιν εἰς τὴν ἅμαξαν) ἐβράδυνον. —*ὑποδύντες*: ὑποβαλόντες ἑαυτούς.—*εἰς οὐδένα....τιθεῖς ἀριθμόν*...δὲν λογαριάζεις, δὲν συγκαταλέγεις διόλου μεταξὺ τῶν εὐδαιμόνων ἀνθρώπων.—*μεταβολῆς χρ. ἔχουσαν*: ἥτις (εὐδαιμονία) ἔχει χρονικὸν διάστημα (μέχρι δηλ. τέλους τοῦ βίου) νὰ μεταβληθῇ.—*τὴν εὐπραξίαν*: τὴν εὐτυχίαν.—*ζῶντος*: ἐφ' ὅσον ζῇ.-- *ἀπηλλάτ-*

εἰπὼν ὁ Σόλων ἀπηλλάττετο, λυπήσας μὲν οὐ νουθετήσας δὲ τὸν Κροῖσον.

Ἐπεὶ δὲ Κροῖσος Κύρῳ συμβαλὼν ἐκρατήθη μάχῃ καὶ τὴν πόλιν ἀπώλεσε καὶ ζῶν ἁλοὺς αὐτὸς ἔμελλε καταπίμπρασθαι καὶ γενομένης πυρᾶς ἀνεβιβάσθη δεδεμένος θεωμένων Περσῶν ἁπάντων καὶ Κύρου παρόντος ἀνεβόησε τρὶς «ὦ Σόλων», θαυμάσας οὖν ὁ Κῦρος ἔπεμψε τοὺς ἐρησομένους, ὅστις ἀνθρώπων ἢ θεῶν οὗτός ἐστιν, ὁ Σόλων, ὃν ἐν τύχαις ἀπόροις μόνον ἀνακαλεῖται. Καὶ ὁ Κροῖσος οὐδὲν ἀποκρυψάμενος εἶπεν ὅτι «τῶν παρ' Ἕλλησι σοφῶν εἷς οὗτος ἦν ὁ ἀνήρ, ὃν ἐγὼ μετεπεμψάμην οὐκ ἀκοῦσαί τι βουλόμενος οὐδὲ μαθεῖν ὧν ἐνδεὴς ἦν, ἀλλ' ὡς δή μοι θεατὴς γένοιτο καὶ μάρτυς ἀπίοι τῆς εὐδαιμονίας ἐκείνης. Καὶ ἐκεῖνος ὁ ἀνὴρ ἐκέλευε τότε τὸ τέλος τοῦ βίου σκοπεῖν καὶ μὴ θρασυνόμενον ὑβρίζειν».

Ἐπεὶ δὲ ταῦτ' ἀνηνέχθη πρὸς τὸν Κῦρον, ἅτε δὴ σοφώτερος ὢν τοῦ Κροίσου καὶ τὸν λόγον τοῦ Σόλωνος ἰσχυρὸν ἐν τῷ παραδείγματι βλέπων οὐ μόνον ἀφῆκε τὸν Κροῖσον, ἀλλὰ καὶ τιμῶν ἐφ' ὅσον ἔζη διετέλεσε· καὶ δόξαν ἔσχεν ὁ Σόλων ἑνὶ λόγῳ τὸν μὲν σώσας, τὸν δὲ παιδεύσας τῶν βασιλέων.

## 29. Καρτερία Ἀλεξάνδρου.

Ἀλέξανδρος καὶ ἡ στρατιὰ ἐπορεύοντο διὰ ψάμμου τε καὶ τοῦ καύματος ἤδη ἐπιφλέγοντος. Τὸ ὕδωρ δὲ ἦν πρόσω τῆς ὁδοῦ. Αὐτὸς δ' Ἀλέξανδρος δίψει κατεχόμενος μόλις μὲν καὶ χαλεπῶς πεζὸς δ' ὅμως ἡγεῖτο, ὥστε καὶ οἱ ἄλλοι στρατιῶται κουφοτέρως ἔφερον τοὺς πόνους. Ἐν δὲ τούτῳ τῶν ψιλῶν τινες κατὰ ζήτησιν ὕδατος ἀποτραπέντες ἀπὸ τῆς στρατιᾶς εὗρον ὕδωρ ὀλίγον συνειλεγμένον ἔν τινι χα-

---

τετο: ἀνεχώρει.—*Κύρῳ*: πρὸς τὸν Κῦρον τὸν πρεσβύτερον.—*συμβαλών*: συγκρουσθείς.—*τὴν πόλιν*: τὰς Σάρδεις.— *καταπίμπρασθαι*: νὰ κατακαῇ. —*ὅστις*: τίς. —*ἐν τύχαις ἀπόροις*: ἐν δυστυχίᾳ.—*οὐ βουλόμενος*: ὄχι διότι ἤθελον — *ὧν ἐνδεὴς ἦν*: ἐξ ἐκείνων, τὰ ὁποῖα ἠγνόουν. —*ἀλλ' ὡς*: ἀλλ' ἵνα.—*μὴ ὑβρίζειν*: νὰ μὴ ὑπερηφανεύωμαι: *ἀνηνέχθη*: ἀνηγγέλθησαν.—*ἰσχυρόν*: ἔγκυρον, πραγματοποιούμενον.—*ἐν τῷ παραδείγματι*' τῆς δυστυχίας δηλ. τοῦ Κροίσου.—*τὸν μέν*: τὸν Κροῖσον.—*τὸν δέ*: τὸν Κῦρον.

29. *διὰ ψάμμου*· διὰ πεδίου ἀμμώδους.—*δίψει*: λέγεται ἡ δίψα καὶ τὸ *δίψος*—

ῥάδρᾳ οὐ βαθείᾳ. Τοῦτο οὖν χαλεπῶς συλλέξαντες σπουδῇ ᾖσαν παρ' Ἀλέξανδρον ὡς μέγα δή τι ἀγαθὸν φέροντες· ὡς δὲ ἐπέλαζον ἤδη, ἐμβάλοντες εἰς κράνος τὸ ὕδωρ προσήνεγκαν τῷ βασιλεῖ. Ὁ δὲ ἔλαβε μὲν καὶ ἐπήνεσε τοὺς κομίσαντας· λαβὼν δὲ ἐν ὄψει πάντων ἐξέχεε· καὶ ἐπὶ τῷδε τῷ ἔργῳ ἐπερρώσθη ἡ στρατιὰ ξύμπασα.

## 30. Πίστις Ἀλεξάνδρου.

Ἀλέξανδρος εἰς τὸν Κύδνον ποταμὸν ῥίψας ἐνήξατο ἐπιθυμήσας τοῦ ὕδατος ἱδρῶν καὶ καύματι ἐχόμενος. Ἔστι δ' ὁ Κύδνος ψυχρὸς καὶ τὸ ὕδωρ καθαρός. Νοσήσας οὖν Ἀλέξανδρος σπασμῷ τε εἴχετο καὶ θέρμαις ἰσχυραῖς καὶ ἀγρυπνίᾳ συνεχεῖ. Καὶ οἱ μὲν ἄλλοι ἰατροὶ οὐκ ᾤοντο εἶναι βιώσιμον. Φίλιππος δὲ Ἀκαρνὰν ἰατρὸς συνὼν Ἀλεξάνδρῳ καὶ τά τε ἀμφὶ ἰατρικὴν ἐς τὰ μάλιστα πιστευόμενος καὶ τὰ ἄλλα οὐκ ἀδόκιμος ἐν τῷ στρατῷ ὢν ἤθελε δοῦναι Ἀλεξάνδρῳ φάρμακον. Ὁ μὲν δὴ Φίλιππος παρεσκεύαζε τὴν κύλικα· ἐν τούτῳ δὲ Ἀλεξάνδρῳ ἐδόθη ἐπιστολὴ παρὰ Παρμενίωνος φυλάξασθαι Φίλιππον· ἤκουε γὰρ διεφθάρθαι ὑπὸ Δαρείου χρήμασιν, ὥστε φαρμάκῳ ἀποκτεῖναι Ἀλέξανδρον. Ὁ δὲ ἀναγνοὺς τὴν ἐπιστολὴν καὶ ἔτι μετὰ χεῖρας ἔχων αὐτὸς μὲν ἔλαβε τὴν κύλικα, ἐν ᾗ ἦν τὸ φάρμακον, τὴν ἐπιστολὴν δὲ τῷ Φιλίππῳ ἔδωκεν ἀναγνῶναι. Καὶ ὁμοῦ ὅτε Ἀλέξανδρος ἔπινε καὶ ὁ Φίλιππος ἀνεγίνωσκε τὰ παρὰ τοῦ Παρμενίωνος, Φίλιππος δὲ οὐκ ἐξεπλάγη πρὸς τὴν ἐπιστολήν, ἀλλὰ τοσόνδε μόνον παρεκάλεσεν Ἀλέξανδρον καὶ εἰς τὰ ἄλλα πείθεσθαι αὐτῷ ὅσα ἐπαγγέλλοιτο· σωθήσεσθαι γὰρ πειθόμενον. Καὶ ὁ Ἀλέξανδρος ἀπηλλάγη τοῦ νοσήματος ἐπιδείξας οὕτω τῷ τε Φιλίππῳ ὅτι πιστός ἐστιν αὐτῷ φίλος καὶ τοῖς ἀμφ' αὐτὸν ὅτι ἀνύποπτος τυγχάνει ὢν καὶ πρὸς τὸ ἀποθανεῖν ἐρρωμένος.

---

*σπουδῇ* ἐσπευσμένως.—*ᾖσαν* ἐπορεύοντο.—*ὡς...φέροντες*: νομίζοντες βεβαίως ὅτι φέρουσιν.—*ἐπέλαζον*: ἐπλησίαζον.—*ἐπερρώσθη*: ἐδυναμώθη, ἐνεθαρρύνθη (νὰ ἀντίσχῃ εἰς τὴν δίψαν).

30. *ῥίψας*: πεσὼν *Κύδνος*: ποταμὸς τῆς Κιλικίας.—*ἐνήξατο*: ἐκολύμβησε.—*τὰ ἄλλα* τὰ πολεμικὰ δηλ.—*οὐκ ἀδόκιμος*: εὐδόκιμος, ἀξιόλογος.—*Παρμενίωνος*: τοῦ στρατηγοῦ τοῦ Μ. Ἀλεξάνδρου.-*φυλάξασθαι*: νὰ προφυλαχθῇ.-*ἐπαγγέλλοιτο*: παρήγγελλεν.—*πρὸς τὸ ἀποθανεῖν ἐρρωμένος* πρὸς τὸν θάνατον ἀνδρεῖος.

### 31. Περικλέους ἀνεξικακία.

Περικλῆς Ξανθίππου υἱός λοιδορούμενός ποτε καὶ κακῶς ἀκούων ὑπό τινος τῶν βδελυρῶν καὶ ἀκολάστων ὅλην ἡμέραν ὑπέμεινε σιωπῇ κατ' ἀγορὰν ἅμα τι τῶν ἐπειγόντων καταπραττόμενος· ἑσπέρας δὲ ἀπήει κοσμίως οἴκαδε παρακολουθοῦντος τοῦ ἀνθρώπου καὶ πάσῃ χρωμένου βλασφημίᾳ πρὸς αὐτόν. Ὡς δ' ἔμελλε εἰσιέναι σκότους ἤδη ὄντος, προσέταξέ τινι τῶν οἰκετῶν φῶς λαβόντι παραπέμψαι καὶ καταστῆσαι πρὸς τὴν οἰκίαν τὸν ἄνθρωπον.

### 32. Περικλέους μεγαλοψυχία.

Περικλέους υἱὸς Ξάνθιππος ἐν τῷ λοιμῷ νοσήσας ἀπέθανεν. Ἀπέθανε δὲ καὶ ἀδελφὴ αὐτοῦ καὶ τῶν κηδεστῶν καὶ τῶν φίλων οἱ πλεῖστοι καὶ χρησιμώτατοι πρὸς τὴν πολιτείαν. Οὐ μὴν Περικλῆς ἀπεῖπεν οὐδὲ προὔδωκε τὸ φρόνημα καὶ τὸ μέγεθος τῆς ψυχῆς ὑπὸ τῶν συμφορῶν· ἀλλ' οὐδὲ κλαίων οὐδὲ κηδεύων οὐδὲ πρὸς τάφῳ τινὸς ὤφθη τῶν ἀναγκαίων πρίν γε δὴ καὶ τὸν περίλοιπον αὐτοῦ τῶν υἱῶν ἀποβαλεῖν Πάραλον. Ἐπὶ τούτῳ δὲ καμφθεὶς ἐπειρᾶτο μὲν ἐγκαρτερεῖν τῷ ἤθει καὶ διαφυλάττειν τὸ μεγαλόψυχον· ἐπιφέρων δὲ τῷ νεκρῷ στέφανον ἡττήθη τοῦ πάθους πρὸς τὴν ὄψιν, ὥστε κλαυθμόν τε ῥῆξαι καὶ πλῆθος ἐκχέαι δακρύων οὐδέποτε τοιοῦτον οὐδὲν ἐν τῷ λοιπῷ βίῳ πεποιηκώς.

### 33. Περικλέους ἀρετή.

Ἤδη πρὸς τὸ τελευτᾶν ὄντος Περικλέους, περικαθήμενοι τῶν πολιτῶν οἱ βέλτιστοι καὶ τῶν φίλων οἱ περιόντες λόγον ἐποιοῦντο τῆς ἀρετῆς καὶ τῆς δυνάμεως ὅση γένοιτο καὶ τὰς πράξεις ἀνεμετροῦντο καὶ τῶν τροπαίων τὸ πλῆθος· ἐννέα γὰρ ἦν ἃ στρατηγῶν καὶ νικῶν ἔστησεν ὑπὲρ τῆς πόλεως. Ταῦτα, ὡς οὐκέτι συνιέντος, διελέγοντο πρὸς

---

31. *κακῶς ἀκούων*: κακολογούμενος.—*τι τῶν ἐπειγ. καταπραττόμ.*: ἐνεργῶν ὑπόθεσίν τινα κατεπείγουσαν.—32. *λοιμῷ*: ὅστις ἐνέσκηψεν εἰς Ἀθ. κατὰ τὰς ἀρχὰς τοῦ Πελοποννησ. πολέμου.—*κηδεστῶν*: συγγενῶν.—*οὐκ ἀπεῖπεν*: δὲν ἀπέκαμεν (ἐκ τῶν συμφορῶν).—*τῶν ἀναγκαίων*: τῶν συγγενῶν.—*τὸν περίλοιπον*: τὸν ὑπολειφθέντα.—*ἐγκαρτερεῖν τῷ ἤθει*: νὰ δείξῃ καρτερίαν, ἐπιμονὴν εἰς τὸν χαρακτῆρά του.—*ἡττήθη τοῦ πάθους*: ἐνικήθη ὑπὸ τῆς συμφορᾶς.—33. *οἱ περιόντες*: οἱ σωζόμενοι εἰσέτι ἐκ τοῦ λοιμοῦ.—*ὡς οὐ συνιέντος*: νομίζοντες ὅτι ὁ Περικλῆς δὲν ἐννοεῖ πλέον.

ἀλλήλους· ὁ δὲ πᾶσιν ἐτύγχανε τὸν νοῦν προσεσχηκὼς καὶ φθεγξάμενος εἰς μέσον ἔφη θαυμάζειν, ὅτι ταῦτα μὲν ἐπαινοῦσιν αὐτοῦ καὶ μνημονεύουσιν, ἃ καὶ πρὸς τύχην ἐστὶ κοινὰ καὶ γέγονεν ἤδη πολλοῖς στρατηγοῖς· τὸ δὲ κάλλιστον καὶ μέγιστον οὐ λέγουσιν· «οὐδεὶς γάρ», ἔφη, «δι' ἐμὲ τῶν ὄντων Ἀθηναίων μέλαν ἱμάτιον περιεβάλετο».

# Δ΄. ΜΥΘΟΛΟΓΙΑ

## 1. Οὐρανὸς καὶ τὰ τέκνα αὐτοῦ.

Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευσε κόσμου, γυναῖκα δὲ λαβὼν Γῆν ἐγέννησε πρώτους τοὺς ἑκατόγχειρας προσαγορευθέντας Βριάρεων, Γύην, Κόττον, οἳ μεγέθει τε ἀνυπέρβλητοι καὶ δυνάμει καθειστήκεσαν, χεῖρας μὲν ἀνὰ ἑκατὸν κεφαλὰς δὲ ἀνὰ πεντήκοντα ἔχοντες. Μετὰ τούτους δὲ αὐτῷ τεκνοῖ Γῆ Κύκλωπας Ἄργην, Στερόπην, Βρόντην, ὧν ἕκαστος εἶχεν ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου. Ἀλλὰ τούτους μὲν Οὐρανὸς δήσας εἰς Τάρταρον ἔρριψε (τόπος δὲ οὗτος ἐρεβώδης ἐστὶν ἐν Ἅδου τοσοῦτον ἀπὸ γῆς διάστημα, ὅσον ἀπ' οὐρανοῦ γῆ), τεκνοῖ δὲ αὖθις ἐκ Γῆς παῖδας μὲν τοὺς Τιτᾶνας προσαγορευθέντας Ὠκεανόν, Κοῖον, Ὑπερίονα, Κριόν, Ἰαπετὸν καὶ νεώτατον ἁπάντων Κρόνον, θυγατέρας δὲ Ῥέαν, Μνημοσύνην καὶ ἄλλας. Ἀγανακτοῦσα δὲ Γῆ ἐπὶ τῇ ἀπωλείᾳ τῶν εἰς Τάρταρον ῥιφθέντων παίδων πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι τῷ πατρί. Οἱ δὲ Ὠκεανοῦ χωρὶς ἐπιτίθενται καὶ τῆς ἀρχῆς αὐτὸν ἐκβαλόντες τούς τε καταταρταρωθέντας ἀνήγαγον ἀδελφοὺς καὶ τὴν ἀρχὴν Κρόνῳ παρέδοσαν.

## 2. Κρόνος

Κρόνος δέ, ἐπειδὴ Γῆ τε καὶ Οὐρανὸς ἔλεγεν ὑπὸ παιδὸς ἰδίου τὴν ἀρχὴν ἀφαιρεθήσεσθαι, κατέπινε τὰ γεννώμενα. Ὀργισθεῖσα δ' ἐπὶ τούτοις Ῥέα ἡ γυνὴ αὐτοῦ παραγίγνεται μὲν εἰς Κρήτην, γεννᾷ δὲ ἐν

1. *Τεκνοῖ*: γεννᾷ.—*ἐρεβώδης*· σκοτεινός.—*ἐπιθέσθαι*· νὰ ἐπιτεθῶσι.—2. *Δίκτης*

ἄντρῳ τῆς Δίκτης Δία καὶ τοῦτον δίδωσι τρέφεσθαι Κούρησί τε καὶ ταῖς νύμφαις Ἀδραστείᾳ τε καὶ Ἴδῃ. Αὗται μὲν οὖν τὸν παῖδα ἔτρεφον τῷ τῆς Ἀμαλθείας γάλακτι, οἱ δὲ Κούρητες ἔνοπλοι ἐν τῷ ἄντρῳ τὸ βρέφος φυλάσσοντες τοῖς δόρασι τὰς ἀσπίδας συνέκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνῆς ὁ Κρόνος ἀκούσῃ. Ῥέα δὲ λίθον σπαργανώσασα ἔδωκε Κρόνῳ καταπιεῖν ὡς τὸν γεγεννημένον παῖδα.

### 3. Ζεύς, Πλούτων, Ποσειδῶν.

Ἐπειδὴ δὲ Ζεὺς ἐγένετο τέλειος, λαμβάνει Μῆτιν τὴν Ὠκεανοῦ συνεργόν, ἣ δίδωσι Κρόνῳ καταπιεῖν φάρμακον, ὑφ' οὗ ἐκεῖνος ἀναγκασθεὶς πρῶτον μὲν ἐξεμεῖ τὸν λίθον, ἔπειτα τοὺς παῖδας οὓς κατέπιεν Ἑστίαν, Δήμητρα, Ἥραν, Πλούτωνα καὶ Ποσειδῶνα, μεθ' ὧν Ζεὺς τὸν πρὸς Κρόνον ἐξήνεγκε πόλεμον. Μαχομένων δὲ αὐτῶν ἐνιαυτοὺς δέκα, ἡ Γῆ τῷ Διὶ ἔχρησε τὴν νίκην, τοὺς καταταρταρωθέντας ἂν ἔχῃ συμμάχους· ὁ δὲ τὴν φρουροῦσαν αὐτῶν τὰ δεσμὰ Κάμπην ἀποκτείνας ἔλυσε. Καὶ Κύκλωπες τότε Διὶ μὲν διδόασι βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνόν, Πλούτωνι δὲ κυνέην, Ποσειδῶνι δὲ τρίαιναν· οἱ δὲ τούτοις ὁπλισθέντες κρατοῦσι Τιτάνων καὶ καθείρξαντες αὐτοὺς ἐν τῷ Ταρτάρῳ τοὺς ἑκατόγχειρας καθιστᾶσι φύλακας. Αὐτοὶ δὲ διακληροῦνται περὶ τῆς ἀρχῆς καὶ λαγχάνει Ζεὺς μὲν τὴν ἐν οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάσσῃ, Πλούτων δὲ τὴν ἐν Ἅδου.

### 4. Γιγαντομαχία.

Γῆ περὶ Τιτάνων ἀγανακτοῦσα γεννᾷ Γίγαντας μεγέθει μὲν σωμάτων ἀνυπερβλήτους δυνάμει δὲ ἀκαταγωνίστους. Ἠκόντιζον δὲ εἰς οὐρανὸν πέτρας καὶ δρῦς ἡμμένας. Διέφερε δὲ πάντων Πορφυρίων καὶ

---

ὄρος τῆς Κρήτης.— *Κούρησι*: οἱ Κούρητες συγχέονται μετὰ τῶν Κορυβάντων καὶ εἶναι ἱερεῖς τῆς μητρὸς τῶν θεῶν Ῥέας ἢ Κυβέλης, τελοῦντες τὰ ὄργιά των μὲ ὕμνους ἐνθουσιώδεις καὶ παραφόρους κινήσεις.— *σπαργανώσασα*· ἐν σπαργάνοις περιτυλίξασα.— *Ἀμαλθείας*· αἴξ, διὰ τοῦ γάλακτος τῆς ὁποίας ἐτράφη ὁ Ζεύς.

3. *ἐγένετο τέλειος*· ἐνηλικιώθη.— *ἐκεῖνος*: ὁ Κρόνος.— *ἔχρησε τὴν νίκην*: διὰ χρησμοῦ προεῖπε νίκην.— *Κάμπη*: τέρας καταχθόνιον φρουροῦν τοὺς Κύκλωπας.— *κυνέην*: περικεφαλαίαν, ἥτις εἶχε τὴν ἰδιότητα νὰ καθιστᾷ ἀόρατον τὸν φοροῦντα αὐτήν.— *διακληροῦνται*: διὰ κλήρου διανέμονται τὴν ἀρχήν.—4. *περὶ Τιτάνων*: διότι ἦσαν ἐγκαθειργμένοι ἐν τῷ Ταρτάρῳ.— *ἡμμένας*: ἀνημμένας·— *ἐν ᾗπερ μαχόμενος*:

Ἀλκυονεύς, ὃς δὴ καὶ ἀθάνατος ἦν ἐν ᾗπερ ἐγεννήθη γῇ μαχόμενος. Τοῖς δὲ θεοῖς λόγιον ἦν ὑπὸ θεῶν μὲν μηδένα τῶν Γιγάντων ἀπολέσθαι δύνασθαι, συμμαχοῦντος δὲ θνητοῦ τινος τελευτήσειν. Ζεὺς δὲ Ἡρακλέα σύμμαχον ἐπεκαλέσατο. Κἀκεῖνος πρῶτον μὲν ἐτόξευσεν Ἀλκυονέα, ὁ δὲ ἐπὶ τῆς γῆς μᾶλλον ἀνεθάλπετο. Ἀθηνᾶς δὲ ὑποθεμένης ἔξω τῆς Παλλήνης εἵλκυσεν αὐτόν. Κἀκεῖνος μὲν οὕτως ἐτελεύτα, Πορφυρίων δὲ Ἡρακλεῖ κατὰ μάχην ἐφώρμησε καὶ Ἥρᾳ, Διὸς δὲ κεραυνώσαντος αὐτὸν Ἡρακλῆς τοξεύσας ἀπέκτεινε. Τοὺς δ' ἄλλους ἄλλοι θεοὶ καὶ Ζεὺς βαλὼν διέφθειρεν.

### 5. Δημήτηρ καὶ Περσεφόνη.

Πλούτων Περσεφόνην Διὸς θυγατέρα ἁρπάσας ἔδυ μετὰ τῆς ἁρπαγείσης καθ' Ἅδου. Μετὰ δὲ τὴν Κόρης ἁρπαγὴν Δημήτηρ μὴ δυναμένη ἀνευρεῖν τὴν θυγατέρα λαμπάδας ἀναψαμένη ἐπῆλθεν ἐπὶ πολλὰ μέρη τῆς οἰκουμένης. Μαθοῦσα δὲ παρ' Ἑρμιονέων ὅτι Πλούτων αὐτὴν ἥρπασεν ὀργιζομένη θεοῖς ἀπέλιπεν οὐρανόν, εἰκασθεῖσα δὲ γυναικὶ ἧκεν εἰς Ἐλευσῖνα. Καὶ πρῶτον μὲν τὴν ἀπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον ἐκάθισε πέτραν, ἔπειτα πρὸς Κελεὸν ἐλθοῦσα τὸν βασιλεύοντα τότε Ἐλευσινίων, ἔνδον οὐσῶν γυναικῶν καὶ λεγουσῶν τούτων παρ' αὐτὰς καθέζεσθαι, γραῖά τις Ἰάμβη σκώψασα τὴν θεὸν ἐποίησε μειδιᾶσαι.

Ὄντος δὲ τῇ τοῦ Κελεοῦ γυναικὶ Μετανείρᾳ παιδίου, τοῦτο ἔτρεφεν ἡ Δημήτηρ παραλαβοῦσα· βουλομένη δὲ αὐτὸ ἀθάνατον ποιῆσαι τὰς νύκτας εἰς πῦρ κατετίθει τὸ βρέφος καὶ περιῄρει τὰς θνητὰς σάρκας αὐτοῦ. Καθ' ἡμέραν δὲ παραδόξως αὐξανομένου τοῦ Δημοφῶντος, (τοῦτο γὰρ ἦν ὄνομα τῷ παιδὶ), ἐπετήρησεν ἡ Πραξιθέα καὶ καταλαβοῦσα εἰς πῦρ ἐγκεκρυμμένον ἀνεβόησε· διόπερ τὸ μὲν βρέφος ὑπὸ τοῦ πυρὸς ἀνηλώθη, ἡ θεὰ δὲ αὑτὴν ἐξέφηνε. Τριπτολέμῳ δὲ τῷ πρεσβυτέρῳ τῶν Μετανείρας παίδων δίφρον κατασκευάσασα πτηνῶν δρακόντων πυρὸν ἔδωκεν, ᾧ τὴν ὅλην οἰκουμένην δι' οὐρανοῦ αἰρόμενος κατέσπειρεν.

---

ἐὰν ἐμάχετο ἐν τῇ χώρᾳ, ἐν ᾗ ἐγεννήθη.— *ἀνεθάλπετο*· ἀνεζωογονεῖτο.—*ὑποθεμένης*: συμβουλευσάσης.— *ἔξω Παλλήνης*· ἔξω τῆς Παλλήνης, ἐν ᾗ εἶχε γεννηθῇ.

5. *ἔδυ*: εἰσέδυσεν.—*εἰκασθεῖσα*: ὁμοιωθεῖσα, λαβοῦσα μορφήν.—*περιῄρει*: ἀφῄρει.—*ἐπετήρησεν*: ἐκαιροφυλάκτησεν.— *ἐξέφηνε*: ἐφανέρωσε.— *πτηνῶν δρακόντων* : ἑλκόμενον ὑπὸ δρακόντων πτερωτῶν.—*πυρόν* : σῖτον.

Διὸς δὲ Πλούτωνι τὴν Κόρην ἀναπέμψαι κελεύσαντος, Περσεφόνη καθ' ἕκαστον ἐνιαυτὸν τὸ μὲν τρίτον μετὰ Πλούτωνος ἔμενε, τὸ δὲ λοιπὸν παρὰ τοῖς θεοῖς.

### 6. Ἅδης.

1. Ἅδης ἐστὶ τόπος τις ὑπὸ τῇ γῇ βαθὺς μέγας καὶ πολύχωρος καὶ ζοφερὸς καὶ ἀνήλιος. Βασιλεύει δὲ τοῦ χάσματος ἀδελφὸς τοῦ Διὸς Πλούτων, ὃς τὴν παρ' αὐτῷ πολιτείαν καὶ τὸν κάτω βίον κατεστήσατο τοιοῦτον. Ἄρχει μὲν οὗτος τῶν ἀποθανόντων, καταδεξάμενος δὲ αὐτοὺς καὶ παραλαβὼν κατέχει δεσμοῖς ἀφύκτοις οὐδενὶ τὸ παράπαν τῆς ἄνω ὁδοῦ ὑφιέμενος.

2. Περιρρεῖται δ' ἡ χώρα αὐτοῦ ποταμοῖς μεγάλοις τε καὶ φοβεροῖς καὶ ἐκ μόνων τῶν ὀνομάτων. Κωκυτοὶ γὰρ καὶ Πυριφλεγέθοντες καὶ τὰ τοιαῦτα κέκληνται. Τὸ δὲ μέγιστον ἡ Ἀχερουσία λίμνη πρόκειται πρώτη δεχομένη τοὺς ἀπαντῶντας, ἣν οὐκ ἔνι διαπλεῦσαι ἢ παρελθεῖν ἄνευ τοῦ πορθμέως.

3. Πρὸς δὲ αὐτῇ τῇ καθόδῳ καὶ πύλῃ οὔσῃ ἀδαμαντίνῃ ἀδελφιδοῦς τοῦ βασιλέως Αἰακὸς ἕστηκε τὴν φρουρὰν ἐπιτετραμμένος καὶ παρ' αὐτῷ κύων τρικέφαλος τοὺς μὲν ἐσαφικνουμένους φίλιόν τι καὶ εἰρηνικὸν προσβλέπων, τοὺς δὲ πειρῶντας ἀποδιδράσκειν ὑλακτῶν.

4. Περαιωθέντας δὲ τὴν λίμνην ἐς τὸ ἔσω λειμὼν ὑποδέχεται, μέγας κατάφυτος καὶ ποτὸν μνήμης πολέμιον. Λήθης γοῦν διὰ τοῦτο ὠνόμασται.

5. Ὁ μὲν οὖν Πλούτων καὶ ἡ Περσεφόνη δυναστεύουσι καὶ τὴν τῶν ὅλων δεσποτείαν ἔχουσιν, ὑπηρετοῦσι δ' αὐτοῖς ὄχλος πολὺς Ἐρινεύς τε καὶ Ποιναὶ καὶ Φόβοι καὶ ὁ Ἑρμῆς οὗτος μέν γε οὐκ ἀεὶ συμπαρών.

6. Δικασταὶ δὲ κάθηνται δύο, Μίνως τε καὶ Ῥαδάμανθυς οἱ Κρῆτες, ὄντες υἱοὶ τοῦ Διός. Οὗτοι δὲ τοὺς μὲν ἀγαθοὺς τῶν ἀνδρῶν καὶ δικαίους καὶ κατ' ἀρετὴν βεβιωκότας πέμπουσιν εἰς τὸ Ἠλύσιον πε-

---

1. *καταδεξάμενος*: δεξάμενος κάτω.—*ἀφύκτοις*: ἐξ ὧν δὲν δύναταί τις νὰ διαφύγῃ.—*τῆς ἄνω ὁδοῦ ὑφιέμενος*: ἐπιτρέπει τὴν εἰς τὸν κόσμον ἄνοδον. 2 *οὐκ ἔνι*: δὲν εἶνε δυνατόν.—*τοῦ πορθμέως*: τοῦ Χάρωνος.—*ἀδαμαντίνῃ*: ἐξ ἀδάμαντος, ἐκ σιδήρου σκληροτάτου.—*ἀδελφιδοῦς*: ὁ Αἰακὸς ὡς υἱὸς τοῦ Διὸς εἶνε ἀνεψιὸς τοῦ Πλούτωνος.—5. *Περσεφόνη*: σύζυγος τοῦ Πλούτωνος καὶ θυγάτηρ τῆς Δήμητρος.—*οὗτος...συμπαρών*: οὗτος ὅμως ὁ Ἑρμῆς δὲν εἶνε πάντοτε παρὼν ἐν τῷ Ἅδῃ,

δίον τῷ ἀρίστῳ βίῳ συνεσομένους, τοὺς δὲ πονηροὺς ταῖς Ἐρινύσι παραδόντες ἐς τὸν τῶν ἀσεβῶν χῶρον ἐσπέμπουσι κατὰ λόγον τῆς ἀδικίας κολασθησομένους.

### 7. Διόνυσος.

Διόνυσος ἦν υἱὸς Διὸς καὶ Σεμέλης. Ταφεὶς δ' ὑπὸ τῶν νυμφῶν ἐν τῇ Νύσῃ μετὰ πολλῆς σπουδῆς καὶ ἐπιμελείας εὑρετὴς τοῦ οἴνου ἐγένετο καὶ τὴν φυτείαν ἐδίδαξε τῆς ἀμπέλου τοὺς ἀνθρώπους. Ἐπιὼν δὲ σχεδὸν ὅλην τὴν οἰκουμένην πολλὴν χώραν ἐξημέρωσε καὶ διὰ τοῦτο ἔτυχε παρὰ πᾶσι μεγίστων τιμῶν. Περιήγετο δὲ καὶ στρατόπεδον οὐ μόνον ἀνδρῶν ἀλλὰ καὶ γυναικῶν καὶ τοὺς ἀδίκους καὶ ἀσεβεῖς τῶν ἀνθρώπων ἐκόλαζεν.

### 8. Τάνταλος.

Τάνταλος Διὸς μὲν ἦν υἱός, πλούτῳ δὲ καὶ δόξῃ διαφέρων κατῴκει τῆς Ἀσίας περὶ τὴν Παφλαγονίαν. Διὰ δὲ τὴν ἀπὸ πατρὸς Διὸς εὐγένειαν φίλος ἐγένετο τῶν θεῶν. Ὕστερον δὲ τὴν εὐτυχίαν οὐ φέρων ἀνθρωπίνως καὶ μετασχὼν κοινῆς τραπέζης καὶ πάσης παρρησίας ἀπήγγελλε τοῖς ἀνθρώποις τὰ παρὰ τοῖς ἀθανάτοις ἀπόρρητα. Δι' ἣν αἰτίαν καὶ ζῶν ἐκολάσθη καὶ τελευτήσας αἰωνίου τιμωρίας ἠξιώθη.

### 9. Νιόβη.

Νιόβη Ταντάλου θυγάτηρ ἐγέννησεν υἱοὺς ἑπτὰ καὶ θυγατέρας τὰς ἴσας, εὐπρεπείᾳ διαφερούσας. Ἐπὶ δὲ τῷ πλήθει τῶν τέκνων μέγα φρονοῦσα πλεονάκις ἐκαυχᾶτο καὶ τῆς Λητοῦς ἑαυτὴν εὐτεκνοτέραν ἀπεφαίνετο. Εἶθ' ἡ μὲν Λητὼ χολωσαμένη προσέταξε τῷ μὲν Ἀπόλλωνι κατατοξεῦσαι τοὺς υἱοὺς τῆς Νιόβης, τῇ δ' Ἀρτέμιδι τὰς θυγατέρας. Τούτων δ' ὑπακουσάντων τῇ μητρὶ καὶ κατὰ τὸν αὐτὸν καιρὸν κατατοξευσάντων τὰ τέκνα τῆς Νιόβης συνέβη τὴν προειρημένην ὑφ'

---

διότι ἐκτελεῖ ὑπηρεσίαν καὶ εἰς τοὺς ἄνω θεούς.—6. *τῷ ἀρ. β. συνεσομένους*: ἵνα διαγάγωσι βίον ἄριστον.—7. *Νύσῃ*: ὄρος καὶ πόλις τῆς Αἰθιοπίας.

8. *ἀνθρωπίνως*: μὲ μετριοφροσύνην.—*μετασχὼν παρρησίας*: παριστάμενος εἰς πάσας τὰς τῶν θεῶν ὁμιλίας.—*ἀπόρρητα*: μυστικά.—9. *εὐπρεπείᾳ*: κατὰ τὸ κάλλος.— *Λητοῦς*: τῆς μητρὸς τοῦ Ἀπόλλωνος καὶ τῆς Ἀρτέμιδος.

ἕνα καιρὸν ἅμα εὔτεκνον καὶ ἄτεκνον γενέσθαι. Νιόβη δὲ Θήβας ἀπολιποῦσα πρὸς τὸν πατέρα Τάνταλον ἧκε κἀκεῖ Διὶ εὐξαμένη τὴν μορφὴν εἰς λίθον μετέβαλε καὶ χεῖται δάκρυα νύκτωρ καὶ μεθ' ἡμέραν ἐκ τοῦ λίθου.

### 10. Ὀρφεὺς καὶ Εὐρυδίκη.

Καλλιόπης θυγατρὸς τοῦ Διὸς καὶ Ἀπόλλωνος γίγνεται Ὀρφεὺς ὁ ἀσκήσας κιθαρῳδίαν, ὅς ᾄδων ἐκίνει λίθους τε καὶ δένδρα. Ἀποθανούσης δὲ Εὐρυδίκης τῆς γυναικὸς αὐτοῦ δηχθείσης ὑπὸ ὄφεως, κατῆλθεν εἰς Ἅδου θέλων ἀναγαγεῖν αὐτὴν καὶ Πλούτωνα ἔπεισεν ἀναπέμψαι. Ὁ δὲ ὑπέσχετο τοῦτο ποιήσειν, ἂν μὴ πορευόμενος Ὀρφεὺς ἐπιστραφῇ πρὶν εἰς τὴν οἰκίαν αὐτοῦ παραγενέσθαι· ὁ δὲ ἀπιστῶν ἐπιστραφεὶς ἐθεάσατο τὴν γυναῖκα, ἡ δὲ πάλιν ὑπέστρεψεν.

### 11. Προμηθεύς.

Προμηθεὺς υἱὸς Ἰαπετοῦ τοῦ Τιτᾶνος καὶ Ἀσίας ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας ἔδωκεν αὐτοῖς καὶ πῦρ λάθρᾳ Διὸς ἐν νάρθηκι κρύψας. Ὡς δὲ ᾔσθετο Ζεύς, προσήλωσε τὸ σῶμα αὐτοῦ ὄρει Σκυθικῷ τῷ Καυκάσῳ. Καθ' ἑκάστην δὲ ἡμέραν ἀετὸς ἐφιπτάμενος αὐτῷ τοὺς λοβοὺς ἐνέμετο τῶν ἡπάτων αὐξανομένων διὰ νυκτός, μέχρι Ἡρακλῆς αὐτὸν ὕστερον ἔλυσεν.

### 12. Δευκαλίων.

Προμηθέως δὲ παῖς Δευκαλίων ἐγένετο. Οὗτος, βασιλεύων τῶν περὶ Φθίαν τόπων, γυναῖκα ἠγάγετο Πύρραν. Ἐπὶ δὲ ἀφανίσαι Ζεὺς τὸ χαλκοῦν ἤθελε γένος, ὑποθεμένου Προμηθέως Δευκαλίων τεκτηνάμενος λάρνακα καὶ τὰ ἐπιτήδεια ἐνθέμενος εἰς ταύτην μετὰ Πύρρας εἰσέβη. Ζεὺς δὲ πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας ἀνθρώπους ὀλίγων χωρὶς οἳ συνεφοίτων εἰς πλησίον ὑψηλὰ ὄρη.

Δευκαλίων δέ, ἐν τῇ λάρνακι διὰ τῆς θαλάσσης φερόμενος ἐφ' ἡμέ-

10. *ἐπιστραφῇ*: γυρίσῃ ὀπίσω.—*ὑπέστρεψεν*: δηλ. εἰς τὸν Ἅδην.—11. *ἐν νάρθηκι*: νάρθηξ ἦτο εἶδος φυτοῦ μὲ κορμὸν ὅμοιον πρὸς τὸν τοῦ καλάμου. *Νάρθηξ* ἐπίσης λέγεται καὶ ἡ ἐκ τοῦ φυτοῦ τούτου ῥάβδος, ὡς ἐνταῦθα.—*προσήλωσε*: προσέδεσε. 12. *Φθίαν*: χώρα τῆς Θεσσαλίας.—*χαλκοῦν γένος*: τὰ γένη τῶν ἀνθρώ-

ρας ἐννέα καὶ νύκτας τὰς ἴσας, τῷ Παρνασσῷ προσίσχει κἀκεῖ τῶν ὄμβρων παῦλαν λαβόντων ἐκβὰς θύει Διί. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἰτεῖσθαι ὅ,τι βούλεται· ὁ δὲ αἱρεῖται ἀνθρώπους αὐτῷ γενέσθαι· καὶ Διὸς εἰπόντος ὑπὲρ κεφαλῆς αἴρων ἔβαλε λίθους, καὶ οὓς μὲν ἔβαλε Δευκαλίων ἄνδρες ἐγένοντο, οὓς δὲ Πύρρα γυναῖκες.

## 13. Καλυδώνιος κάπρος.

Οἰνεὺς βασιλεύων Καλυδῶνος θεοῖς πᾶσι θύων, μόνης Ἀρτέμιδος ἐξελάθετο. Μηνίσασα δὲ ἡ θεὰ κάπρον ἀφῆκεν ἔξοχον μεγέθει τε καὶ ῥώμῃ, ὃς τήν τε γῆν ἄσπορον ἐτίθει καὶ τὰ βοσκήματα καὶ τοὺς ἐντυγχάνοντας διέφθειρεν. Ἐπὶ τοῦτον τὸν κάπρον Οἰνεὺς τοὺς ἀρίστους ἐκ τῆς Ἑλλάδος πάντας συνεκάλεσε καὶ τῷ κτείναντι τὸν θῆρα τὴν δορὰν δώσειν ἀριστεῖον ἐπηγγείλατο. Τὸν κάπρον οὖν πρώτη μὲν Ἀταλάντη εἰς τὰ νῶτα ἐτόξευσε, δεύτερος δὲ Ἀμφιάραος εἰς τὸν ὀφθαλμόν. Μελέαγρος δὲ αὐτὸν εἰς τὸν κενεῶνα πλήξας ἀπέκτεινε καὶ λαβὼν τὸ δέρας ἔδωκεν Ἀταλάντῃ.

## 14. Ἀσκληπιός.

Μυθολογοῦσιν Ἀσκληπιὸν Ἀπόλλωνος υἱὸν ὑπάρχειν καὶ Κορωνίδος, φύσει δὲ καὶ ἀγχινοίᾳ διενεγκόντα ζηλῶσαι τὴν ἰατρικὴν ἐπιστήμην καὶ πολλὰ τῶν συντεινόντων πρὸς ὑγείαν ἀνθρώπων ἐξευρεῖν. Ἐπὶ τοσοῦτο δὲ προβῆναι τῇ δόξῃ, ὥστε πολλοὺς τῶν ἀπεγνωσμένων ἀρρώστων παραδόξως θεραπεύειν καὶ διὰ τοῦτο πολλοὺς δοκεῖν τῶν τετελευτηκότων ποιεῖν πάλιν ζῶντας. Ζεὺς δὲ φοβηθεὶς μὴ λαβόντες ἄνθρωποι θεραπείαν παρ' αὐτοῦ βοηθῶσιν ἀλλήλους, ἐκεραύνωσεν αὐτόν. Καὶ διὰ τοῦτο ὀργισθεὶς Ἀπόλλων κτείνει Κύκλωπας τοὺς τὸν

---

πωνῆσαν πέντε· πρῶτον τὸ ἐπὶ Κρόνου ἀκμάσαν χρυσοῦν γένος, τὸ ἄριστον πάντων δεύτερον τὸ ἀργυροῦν, τρίτον τὸ χαλκοῦν, τέταρτον τὸ τῶν ἡρώων καὶ πέμπτον τὸ σιδηροῦν. Οἱ ἄνδρες τοῦ χαλκοῦ γένους ἦσαν πολεμικοὶ καὶ ὑβρισταί, χάλκινα ὅπλα ἔχοντες, ἐν χαλκοῖς οἴκοις κατοικοῦντες καὶ χαλκὸν ἐργαζόμενοι.-*ὑποθεμένου*: συμβουλεύσαντος.—*τεκτηνάμενος*: κατασκευάσας.—*λάρνακα*: κιβωτόν.-*ὀλίγων χωρίς*: πλὴν ὀλίγων.—*προσίσχει*: προσκολλᾶται, σταματᾷ.—*παῦλαν λαβ.*: παυσαμένων.

13. *Καλυδῶνος*: πόλις τῆς Αἰτωλίας.—*Μηνίσασα*: ὀργισθεῖσα.--*ἐπηγγείλατο*: ὑπεσχέθη.—*Ἀταλάντη*: θυγάτηρ τοῦ Ἰάσου καὶ τῆς Κλυμένης, ἐξ Ἀρκαδίας.—*κενεῶνα*: εἶνε τὸ κούφιο μέρος τοῦ σώματος τὸ μεταξὺ τῶν πλευρῶν καὶ τῶν λαγόνων.—14. *διενεγκόντα*: ὑπέροχος γενόμενος.—*τῶν ἀπεγνωσμένων*: τῶν ἀπηλπι-

κεραυνὸν Διὶ κατασκευάσαντας. Ζεὺς δὲ ἐμέλλησε ῥίπτειν αὐτὸν εἰς Τάρταρον, δεηθείσης δὲ Λητοῦς ἐκέλευσεν αὐτὸν ἐνιαυτὸν ἀνδρὶ θητεῦσαι. Ὁ δὲ παραγενόμενος εἰς Φερὰς πρὸς Ἄδμητον τὸν Φέρητος τούτῳ λατρεύων ἐποίμαινεν.

## 15. Ἡρακλῆς.

### 1. *Γέννησις Ἡρακλέους, παιδικὴ αὐτοῦ ἡλικία.*

Ἀλκμήνη τεκοῦσα καὶ φοβηθεῖσα τὴν τῆς Ἥρας ζηλοτυπίαν ἐξέθηκε τὸ βρέφος εἰς τὸν τόπον, ὅς νῦν ἀπ' ἐκείνου καλεῖται πεδίον Ἡράκλειον. Καθ' ὃν δὴ χρόνον Ἀθηνᾶ μετὰ τῆς Ἥρας προσιοῦσα καὶ θαυμάσασα τοῦ παιδίου τὴν φύσιν, συνέπεισε τὴν Ἥραν ὑποσχεῖν τὴν θηλήν. Τοῦ δὲ παιδὸς ὑπὲρ τὴν ἡλικίαν βιαιότερον ἐπισπασαμένου τὴν θηλήν, ἡ μὲν Ἥρα διαλγήσασα τὸ βρέφος ἔρριψεν, Ἀθηνᾶ δὲ κομίσασα αὐτὸ πρὸς τὴν μητέρα τρέφειν παρεκελεύσατο.

Μετὰ ταῦτα ἡ μὲν Ἥρα δύο δράκοντας ἀπέστειλε τοὺς ἀναλώσοντας τὸ βρέφος, ὁ δὲ παῖς οὐ καταπλαγεὶς ἑκατέρᾳ τῶν χειρῶν τὸν αὐχένα σφίγξας ἀπέπνιξε τοὺς δράκοντας.

Ἐπεὶ δ' ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, ἐξελθὼν εἰς ἡσυχίαν ἐκάθητο ἀπορῶν ποτέραν τῶν ὁδῶν τράπηται, τὴν διὰ τῆς ἀρετῆς ἢ τὴν διὰ τῆς κακίας· καὶ ἐφάνησαν αὐτῷ δύο γυναῖκες προσιέναι μεγάλαι, ἡ μὲν εὐπρεπής τε ἰδεῖν καὶ ἐλευθέριος κεκοσμημένη τὰ μὲν ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ, ἡ δὲ ἑτέρα τεθραμμένη μὲν εἰς πολυσαρκίαν τὰ δὲ ὄμματα ἀναπεπταμένα ἔχουσα. Ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, ἡ μὲν πρόσθεν ῥηθεῖσα ᾔει τὸν αὐτὸν τρόπον, ἡ δὲ ἑτέρα φθάσαι βουλομένη προσέδραμε τῷ Ἡρακλεῖ καὶ εἶπεν· «ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. Ἐὰν μὲν οὖν ἐμὲ φίλην ποιήσῃ, τὴν ἡδίστην καὶ ῥάστην ὁδὸν

---

σμένων·—*πολλοὺς δοκεῖν:* ἐνομίζετο ὅτι πολλοὺς τῶν...—*θητεῦσαι:* νὰ δουλεύσῃ.—*Φεράς:* πόλις τῆς Θεσσαλίας.—*λατρεύων:* ὑπηρετῶν.

1. *Ὑποσχεῖν τὴν θηλήν:* νὰ τὸ θηλάσῃ.—*ἐπισπασαμένου:* ἐπειδὴ ἐτράβηξεν.—*διαλγήσασα:* αἰσθανθεῖσα πόνον δριμύν.—*τοὺς ἀναλώσοντας:* οἱ ὁποῖοι νὰ φονεύσωσι.—*εἰς ἥβην ὡρμᾶτο:* εἰσήρχετο εἰς τὴν ἐφηβικὴν ἡλικίαν.—*μεγάλαι:* ὑψηλαί.—*τὸ σχῆμα:* τὴν στάσιν τοῦ σώματος.—*ἀναπεπταμένα:* ἀνοικτά· δηλοῖ τὴν ἀναίδειαν.—*ἡ πρόσθεν:* ἡ σώφρων καὶ αἰδήμων.—*φθάσαι:* νὰ προφθάσῃ

ἄξω σε καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσει, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσει.» Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα· «ὦ γύναι,» ἔφη, «ὄνομα δέ σοι τί ἐστιν;» Ἡ δέ· «οἱ μὲν ἐμοὶ φίλοι,» ἔφη, «καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με ὀνομάζουσι Κακίαν»·

Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· «Καὶ ἐγὼ ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα, ἐξ ὧν ἐλπίζω, εἰ τὴν ὁδὸν τῆς ἀρετῆς τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἀγαθὸν ἐργάτην γενέσθαι. Οὐκ ἐξαπατήσω δέ σε, ἀλλ', ᾗ περ οἱ θεοὶ διέθεσαν τὰ ὄντα, διηγήσομαι μετ' ἀληθείας. Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας οἱ θεοὶ διδόασιν ἀνθρώποις, ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν, εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον, εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον.»

Καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν· «Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἡ γυνή σοι αὕτη διηγεῖται; Ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε.»

Καὶ ἡ Ἀρετὴ εἶπεν· «ὦ ἀθλία, τί δὲ σὺ ἀγαθὸν ἔχεις; Οἱ μὲν θεοὶ καταφρονοῦσί σου, οἱ δ' ἄνθρωποι οἱ ἀγαθοὶ ἀτιμάζουσιν· οὐδέποτε δ' ἔπαινον ἀκήκοας, οὐδὲ πώποτε δὲ σεαυτῆς ἔργον καλὸν τεθέασαι. Τίς δ' ἄν σοι λεγούσῃ τι πιστεύσειε; Τὶς δ' ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; Ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον οὔτε ἀνθρώπειον χωρὶς ἐμοῦ γίγνεται. Τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις τοῖς ἀγαθοῖς. Τῶν δὲ ἐμῶν φίλων οἱ μὲν νέοι τοῖς πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται. Δι' ἐμὲ δὲ φίλοι μὲν θεοῖς εἰσιν, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ

---

πρὸ τῆς σώφρονος.—*ἄπειρος*: χωρὶς νὰ τὰ δοκιμάσῃς.— *εἰδυῖα*: ἐπειδὴ γνωρίζω. —*ᾗπερ*: ἀκριβῶς ὡς.— *ἵλεως*: εὐμενής.— *θεραπευτέον*: ὀφείλεις νὰ λατρεύῃς.— *πειρατέον*: πρέπει νὰ προσπαθῇς.— *εὖ ποιεῖν*: νὰ εὐεργετῇς.— *τοῦ σοῦ θιάσου*: ἐκ τῆς ἀκολουθίας σου.—*σύνειμι*: συναναστρέφομαι.—*Δι' ἐμέ*: ἐξ αἰτίας ἐμοῦ.—

πατρίσιν· ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσιν.»

Καὶ ὁ Ἡρακλῆς τῇ Ἀρετῇ ἀκολουθήσας τὴν μακαριστοτάτην εὐδαιμονίαν ἐκτήσατο. Τραφεὶς τοίνυν καὶ παιδευθεὶς καὶ μάλιστα ἐν τοῖς γυμνασίοις διαπονηθεὶς ἐγένετο ῥώμῃ τε σώματος πολὺ προέχων τῶν ἄλλων ἁπάντων καὶ ψυχῆς λαμπρότητι περιβόητος.

## 2. *Μανία αὐτοῦ.*

Εὐρυσθεὺς δ', ὁ τὴν βασιλείαν ἔχων τῆς Ἀργείας, ὑποπτεύσας τὴν Ἡρακλέους αὔξησιν μετεπέμπετό τε αὐτὸν καὶ προσέταττε τελεῖν ἄθλους. Οὐχ ὑπακούοντος δὲ τοῦ Ἡρακλέους, Ζεὺς μὲν ἀπέστειλε διακελευόμενος ὑπουργεῖν Εὐρυσθεῖ, Ἡρακλῆς δὲ παρελθὼν εἰς Δελφοὺς καὶ περὶ τούτων ἐπερωτήσας τὸν θεὸν ἔλαβε χρησμὸν τὸν δηλοῦντα ὅτι τοῖς θεοῖς δέδοκται δώδεκα ἄθλους τελέσαι προστάττοντος Εὐρυσθέως καί, τοῦτο πράξαντα, τεύξεσθαι τῆς ἀθανασίας.

Τούτων δὲ προσταχθέντων ὁ μὲν Ἡρακλῆς ἐνέπεσεν εἰς ἀθυμίαν οὐ τὴν τυχοῦσαν. Ἥρα δὲ ἔπεμψεν αὐτῷ λύσσαν· ὁ δὲ τῇ ψυχῇ δυσφορῶν εἰς μανίαν ἐνέπεσε. Τοῦ πάθους δ' αὐξανομένου, τῶν φρενῶν ἐκτὸς γενόμενος τὸν μὲν Ἰόλαον ἐπεβάλετο κτείνειν, ἐκείνου δὲ φυγόντος καὶ τῶν παίδων τῶν ἐκ Μεγάρας πλησίον διατριβόντων τούτους ὡς πολεμίους κατετόξευσε. Μόλις δὲ τῆς μανίας ἀπολυθεὶς καὶ ἐπιγνοὺς τὴν ἰδίαν ἄγνοιαν περιαλγὴς ἦν ἐπὶ τῷ μεγέθει τῆς συμφορᾶς. Πάντων δὲ αὐτῷ συλλυπουμένων καὶ συμπαθούντων, ἐπὶ πολὺν χρόνον κατὰ τὴν οἰκίαν ἡσύχαζεν ἐκκλίνων τὰς τῶν ἀνθρώπων ὁμιλίας τε καὶ ἀπαντήσεις.

## 3. *Οἱ 12 Ἆθλοι.*

### 1ος Ἆθλος.

Τέλος δὲ τοῦ χρόνου τὸ πάθος πραΰναντος, κρίνας ὑπομένειν τοὺς κιν-

---

*τέλος*: ὁ θάνατος.— *ἄτιμοι*: ἄνευ τιμῆς καταφρονημένοι.—*κεῖται*: ἐν τῷ τάφῳ.— *θάλλουσιν*: ἀκμάζουσιν· ἡ μνήμη των αἰωνία.—2. *μετεπέμπετο*: προσεκάλει.— *ἀπέστειλε*: κήρυκα, ἄγγελον.— *διακελευόμενος*: προστάττων.— *ὑπουργεῖν*: νὰ ὑπηρετῇ.—*τοῖς θεοῖς δέδοκται*: οἱ θεοὶ ἔχουσιν ἀποφασίσει.—*Ἰόλαον*: πιστὸς φίλος καὶ σύντροφος τοῦ Ἡρακλέους.—*ἐπεβάλλετο*: ἐπεχείρησε.—*Μεγάρας*: θυγάτηρ τοῦ βασιλέως τῶν Θηβῶν Κρέοντος, σύζυγος τοῦ Ἡρακλέους.—*ἐκκλίνων*: ἀποφεύ-

δύνους παρεγένετο πρὸς Εὐρυσθέα καὶ πρῶτον ἔλαβεν ἄθλον ἀποκτεῖναι τὸν ἐν Νεμέᾳ λέοντα. Οὗτος δὲ μεγέθει μὲν ὑπερφυὴς ἦν, ἄτρωτος δὲ ὢν σιδήρῳ καὶ χαλκῷ καὶ λίθῳ τῆς κατὰ χεῖρα βιαζομένης προσεδεῖτο ἀνάγκης. Διέτριβε δὲ μάλιστα μεταξὺ Μυκηνῶν καὶ Νεμέας περὶ ὄρος τὸ καλούμενον ἀπὸ τοῦ συμβεβηκότος Τρητόν· εἶχε γὰρ περὶ τὴν ῥίζαν διώρυχα διηνεκῆ, καθ' ἣν εἰώθει φωλεύειν τὸ θηρίον. Ὁ δὲ Ἡρακλῆς ἀφικόμενος ἐπὶ τὸν τόπον προσέβαλεν αὐτῷ καὶ τοῦ θηρίου φυγόντος εἰς τὴν διώρυχα συνακολουθῶν αὐτῷ καὶ τὸ ἕτερον τῶν στομίων ἐμφράξας συνεπλάκη καὶ τὸν αὐχένα σφίγξας τοῖς βραχίοσιν ἀπέπνιξε. Τὴν δὲ δορὰν αὐτοῦ περιθέμενος καὶ διὰ τὸ μέγεθος ἅπαν τὸ ἴδιον σῶμα περιβαλὼν εἶχε σκεπαστήριον τῶν μετὰ ταῦτα κινδύνων.

### 2ος Ἆθλος.

Δεύτερον δ' ἔλαβεν ἆθλον ἀποκτεῖναι τὴν Λερναίαν Ὕδραν, ἧς ἐξ ἑνὸς σώματος ἑκατὸν αὐχένες ἔχοντες κεφαλὰς ὄφεων διετετύπωντο. Τούτων δ' εἰ μία διαφθαρείη, διπλασίας ὁ τμηθεὶς ἀνίει τόπος· δι' ἣν αἰτίαν ἀήττητος ὑπάρχειν διείληπτο. Πρὸς δὲ τὴν δυστραπελίαν ταύτην ἐπινοήσας τι φιλοτέχνημα προσέταξεν Ἰολάῳ τὸ ἀποτμηθὲν μέρος λαμπάδι καιομένῃ ἐπικάειν, ἵνα τὴν ῥύσιν ἐπίσχῃ τοῦ αἵματος. Οὕτως οὖν χειρωσάμενος τὸ ζῷον εἰς τὴν χολὴν ἀπέβαπτε τὰς ἀκίδας, ἵνα τὸ βληθὲν βέλος ἔχῃ τὴν ἐκ τῆς ἀκίδος πληγὴν ἀνίατον.

### 3ος Ἆθλος.

Τρίτον δ' ἔλαβε πρόσταγμα τὴν χρυσόκερων μὲν οὖσαν ἔλαφον, τάχει δὲ διαφέρουσαν ἔμπνουν ἀγαγεῖν. Ἦν δὲ ἡ ἔλαφος ἐν Οἰνόῃ, Ἀρτέμιδος ἱερά. Διὸ καὶ βουλόμενος αὐτὴν Ἡρακλῆς μήτε ἀνελεῖν μήτε τρῶσαι συνεδίωξεν ὅλον ἐνιαυτόν. Ἐπεὶ δὲ κάμνον τὸ θηρίον τῇ διώξει συνέφυγεν εἰς ὄρος τὸ λεγόμενον Ἀρτεμίσιον κἀκεῖθεν ἐπὶ τὸν πο-

---

γων.—1. *Νεμέᾳ* : χώρα τῆς Ἀργολίδος.—*τῆς κατὰ χεῖρα... ἀνάγκης* : εἶχεν ἀνάγκην τῆς διὰ χειρὸς βίας· ἠδύνατό τις δηλ. μόνον διὰ τῆς χειρὸς νὰ φονεύσῃ αὐτόν.—*Διηνεκῆ*: ἐκ τῆς μιᾶς πλευρᾶς εἰς τὴν ἄλλην διήκουσαν.—2. *διετετύπωντο*: ἦσαν διαμορφωμένοι, κατεσκευασμένοι.—*ἀνίει*: ἀνέδιδεν, ἀνέφυεν.—*διείληπτο*: εἶχε νομισθῆ.—*δυστραπελίαν* : δυσχέρειαν.—*ῥύσιν*: χύσιν.—*τὰς ἀκίδας* : τὰς αἰχμὰς τῶν βελῶν.—3. *διαφέρουσαν* : ἔξοχον.—*ἔμπνουν* : ζωντανήν.—*Οἰνόῃ*: πόλις τῆς Ἀργολίδος.—*ἀνελεῖν* : νὰ φονεύσῃ.—*κάμνον* : κουρασθέν.—*θηρίον* : ζῷον.—

ταμὸν Λάδωνα, τοῦτον διαβαίνειν μέλλουσαν τοξεύσας συνέλαβε καὶ θέμενος ἐπὶ τῶν ὤμων ἐκόμισεν ἔμπνουν εἰς Μυκήνας.

4ος Ἆθλος.

Τέταρτον δὲ πρόσταγμα ἔλαβεν ἐνεγκεῖν τὸν Ἐρυμάνθιον κάπρον ζῶντα, ὃς ἠδίκει τὴν Ψωφῖδα ὁρμώμενος ἐξ ὄρους, ὃ καλοῦσιν Ἐρύμανθον. Διώξας αὐτὸν Ἡρακλῆς ἔκ τινος λόχμης μετὰ κραυγῆς εἰς χιόνα πολλὴν συνέλαβε καὶ ἀπήνεγκε ζῶντα πρὸς Εὐρυσθέα, ὃν ἰδὼν ὁ βασιλεὺς ἐπὶ τῶν ὤμων φέροντα καὶ φοβηθεὶς ἔκρυψεν ἑαυτὸν εἰς χαλκοῦν πίθον.

5ος Ἆθλος.

Τελέσας δὲ καὶ τοῦτον τὸν ἆθλον ἔλαβε παρ' Εὐρυσθέως πέμπτον πρόσταγμα τὴν αὐλὴν τοῦ Αὐγείου καθῆραι μηδενὸς βοηθοῦντος· αὕτη δ' ἐκ πολλῶν χρόνων ἠθροισμένην κόπρον εἶχεν ἄπλετον, ἣν ὕβρεως ἕνεκεν Εὐρυσθεὺς προσέταξε καθῆραι. Ὁ δ' Ἡρακλῆς τὸ μὲν τοῖς ὤμοις ἐξενεγκεῖν ταύτην ἀπεδοκίμασεν ἐκκλίνων τὴν ἐκ τῆς ὕβρεως αἰσχύνην, ἐπαγαγὼν δὲ τὸν Ἀλφειὸν καλούμενον ποταμὸν ἐπὶ τὴν αὐλὴν καὶ διὰ τοῦ ῥεύματος ἐκκαθήρας αὐτὴν χωρὶς ὕβρεως συνετέλεσε τὸν ἆθλον ἐν ἡμέρᾳ μιᾷ. Διὸ καὶ θαυμάσαι τις ἂν τὴν ἐπίνοιαν· τὸ γὰρ ὑπερήφανον τοῦ προστάγματος χωρὶς αἰσχύνης ἐπετέλεσεν· οὐδὲν ὑπομείνας ἀνάξιον τῆς ἀθανασίας.

6ος Ἆθλος.

Ἕκτον δ' εἶτα πρόσταγμα λαβὼν τὰς ἐκ τῆς Στυμφαλίδος λίμνης ὄρνιθας ἐξελάσαι, τέχνῃ καὶ ἐπινοίᾳ ῥᾳδίως συνετέλεσε τὸν ἆθλον. Ἐπεπόλασε γάρ, ὡς ἔοικεν, ὀρνίθων πλῆθος ἀμύθητον καὶ τοὺς ἐν τῇ πλησίον χώρᾳ καρποὺς ἐλυμαίνετο. Βίᾳ μὲν οὖν ἀδύνατον ἦν χειρώσασθαι τὰ ζῷα διὰ τὴν ὑπερβολὴν τοῦ πλήθους, φιλοτέχνου δ' ἐπινοίας ἡ πρᾶξις προσεδεῖτο. Ἀμηχανοῦντος οὖν Ἡρακλέους πῶς ἐκ τῆς ὕλης τὰς ὄρνιθας ἐκβάλῃ, χάλκεα κρόταλα δίδωσιν αὐτῷ Ἀθηνᾶ παρ' Ἡφαίστου λαβοῦσα. Ταῦτα κρούων ἐπί τινος ὄρους τῇ λίμνῃ παρακει-

---

4. *Ψωφῖδα* —πόλις τῆς Ἀρκαδίας. —*λόχμης* : δάσος πυκνὸν ἐκ χαμοδένδρων. — 5. *Αὐγείου* : βασιλέως τῆς Ἤλιδος. —*ἄπλετον* : ἄφθονον. —*ἐκκλίνων* : θέλων νὰ ἀποφύγῃ—6. *ἀμύθητον*: ἄπειρον. —*ἐκ τῆς ὕλης* : ἐκ τοῦ δάσους.

μένου τὰς ὄρνιθας ἐφόβει· αἳ διὰ τὸν δοῦπον οὐχ ὑπομένουσαι μετὰ δέους ἀνίπταντο καὶ τοῦτον τὸν τρόπον Ἡρακλῆς ἐτόξευσεν αὐτάς.

7ος Ἆθλος.

Μετὰ δὲ ταῦτα λαβὼν ἕβδομον ἆθλον τὸν ἐκ τῆς Κρήτης ταῦρον ἀγαγεῖν ἔπλευσεν εἰς τὴν νῆσον. Οὗτος ἦν ὁ ὑπὸ Ποσειδῶνος ἀναδοθεὶς ἐκ θαλάσσης, ὅτε καταθύσειν Ποσειδῶνι Μίνως εἶπε τὸ φανὲν ἐκ τῆς θαλάσσης· θεασάμενος δὲ τοῦ ταύρου τὸ κάλλος τοῦτον μὲν εἰς τὰ βουκόλια ἀπέπεμψεν, ἔθυσε δ' ἄλλον Ποσειδῶνι· ἐφ' οἷς ὀργισθεὶς ὁ θεὸς ἠγρίωσε τὸν ταῦρον. Ἐπὶ τοῦτον παραγενόμενος εἰς Κρήτην Ἡρακλῆς, ἐπειδὴ λαβεῖν ἀξιοῦντι Μίνως εἶπεν αὐτῷ λαμβάνειν διαγωνισαμένῳ, διαγωνισάμενος καὶ λαβὼν πρὸς Εὐρυσθέα διακομίσας ἔδειξε καὶ τὸ λοιπὸν εἴασεν ἄνετον· ὁ δὲ πλανηθεὶς Σπάρτην τε καὶ Ἀρκαδίαν ἅπασαν, διαβὰς τὸν ἰσθμὸν εἰς Μαραθῶνα τῆς Ἀττικῆς ἀφικόμενος τοὺς ἐγχωρίους ἐλυμαίνετο.

8ος Ἆθλος.

Μετὰ δὲ ταῦτα ἔλαβεν ὄγδοον ἆθλον ἀγαγεῖν εἰς Μυκήνας τὰς Διομήδους τοῦ Θρᾳκὸς ἵππους. Αὗται δὲ χαλκᾶς μὲν φάτνας εἶχον διὰ τὴν ἀγριότητα, ἁλύσεσι δὲ σιδηραῖς διὰ τὴν ἰσχὺν ἐδεσμεύοντο, τροφὴν δ' ἐλάμβανον οὐ τὴν ἐκ γῆς φυομένην, ἀλλὰ τὰ τῶν ξένων μέλη διαιρούμεναι τροφὴν εἶχον. Ταύτας ὁ Ἡρακλῆς βουλόμενος χειρώσασθαι τὸν κύριον Διομήδην παρέβαλε καὶ ταῖς τοῦ παρανομεῖν διδάξαντος σαρξὶν ἐκπληρώσας τὴν ἔνδειαν τῶν ζῴων εὐπειθεῖς ἔσχεν. Εὐρυσθεὺς δέ, ἀχθεισῶν πρὸς αὐτὸν τῶν ἵππων, ταύτας ἱερὰς ἐποίησεν·

9ος Ἆθλος.

Λαβὼν δ' ἔνατον πρόσταγμα τὸν Ἱππολύτης τῆς Ἀμαζόνος ἐνεγκεῖν ζωστῆρα τὴν ἐπὶ τὰς Ἀμαζόνας στρατείαν ἐποιήσατο. Πλεύσας οὖν εἰς τὸν ἀπ' ἐκείνου Εὔξεινον κληθέντα Πόντον καὶ καταπλεύ-

---

8. *θεασάμενος* : ὁ Μίνως ὁ βασιλεὺς τῆς Κρήτης.—*ἐπὶ τοῦτον*: ἵνα συλλάβῃ τοῦτον.—*ἐπειδὴ λαβεῖν ἀξιοῦντι...*: ἐπειδὴ Μίνως εἶπεν αὐτῷ ἀξιοῦντι λαβεῖν διαγωνισαμένῳ λαμβάνειν=ἐπειδὴ ὁ Μίνως εἶπεν εἰς αὐτόν, ὅστις εἶχε τὴν ἀξίωσιν νὰ τὸν λάβῃ δι' ἀγῶνος νά τον λάβῃ—*ἄνετον*: ἐλεύθερον.— 8. *παρέβαλε*: ἔρριψε τροφὴν εἰς αὐτάς.– *τὴν ἔνδειαν* : τήν πεῖναν.—9. *Ἀμαζόνας* : μυθικὸν ἔθνος μαχίμων γυναικῶν.

σας ἐπὶ τὰς ἐκβολὰς τοῦ Θερμώδοντος ποταμοῦ πλησίον Θεμισκύρας πόλεως κατεστρατοπέδευσεν, ἐν ᾗ τὰ βασίλεια τῶν Ἀμαζόνων ὑπῆρχε. Καὶ τὸ μὲν πρῶτον ᾔτει παρ' αὐτῶν τὸν προστεταγμένον ζωστῆρα· ὡς δ' οὐχ ὑπήκουον, συνῆψε μάχην αὐταῖς. Ἡρακλῆς δὲ τὰς ἐπιφανεστάτας τῶν Ἀμαζονίδων ἀνελὼν καὶ τὸ λοιπὸν πλῆθος φυγεῖν συναναγκάσας κατέκοψε τὰς πλείστας, ὥστε παντελῶς τὸ ἔθνος αὐτῶν συντριβῆναι. Κτείνας δὲ καὶ τὴν Ἱππολύτην τὸν ζωστῆρα ἀφαιρεῖται καὶ κομίσας αὐτὸν εἰς Μυκήνας ἔδωκεν Εὐρυσθεῖ.

### 10ος Ἆθλος.

Δέκατον δ' ἐπετάγη ἆθλον τὰς Γηρυόνου βοῦς ἐξ Ἐρυθείας κομίζειν. Ἐρύθεια δ' ἦν Ὠκεανοῦ πλησίον κειμένη νῆσος, ἣ νῦν καλεῖται Γάδειρα. Ταύτην κατῴκει Γηρυόνης, τριῶν ἔχων ἀνδρῶν συμφυὲς σῶμα, ἔχει δὲ φοινικᾶς βοῦς, ὧν ἦν βουκόλος Εὐρυτίων, φύλαξ δὲ Ὄρθρος ὁ κύων δικέφαλος. Παραγενόμενος τοίνυν Ἡρακλῆς εἰς Ἐρύθειαν ἐν ὄρει Ἄβαντι αὐλίζεται. Αἰσθόμενος δ' ὁ κύων ἐπ' αὐτὸν ὥρμα· ὁ δὲ καὶ τοῦτον τῷ ῥοπάλῳ παίει καὶ τὸν βουκόλον Εὐρυτίωνα τῷ κυνὶ βοηθοῦντα ἀπέκτεινε. Γηρυόνης δὲ καταλαβὼν Ἡρακλέα τὰς βοῦς ἀπάγοντα συστησάμενος μάχην τοξευθεὶς ἀπέθανεν. Ἡρακλῆς δὲ διαπλεύσας τὰς βοῦς Εὐρυσθεῖ ἔδωκεν· ὁ δὲ αὐτὰς κατέθυσε τῇ Ἥρᾳ.

### 11ος Ἆθλος.

Ἑνδέκατον δ' ἆθλον λαβὼν ἐνεγκεῖν τὰ τῶν Ἑσπερίδων χρυσᾶ μῆλα, πάλιν ἔπλευσεν εἰς τὴν Λιβύην. Καί τινες μὲν φασιν ἔν τισι κήποις τῶν Ἑσπερίδων ὑπάρξαι κατὰ τὴν Λιβύην μῆλα χρυσᾶ τηρούμενα συνεχῶς ὑπό τινος δράκοντος φοβερωτάτου. Ὁ δὲ Ἡρακλῆς, τὸν φύλακα τῶν μήλων ἀνελών, ταῦτα ἀπεκόμισε πρὸς Εὐρυσθέα.

### 12ος Ἆθλος

Δωδέκατον ἆθλον ἐπετάγη Κέρβερον ἐξ Ἅδου κομίζειν. Εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, τὴν δὲ οὐρὰν δράκοντος, κατὰ δὲ νώ-

---

10. *αὐλίζεται*: κατασκηνώνει.—11. *Ἑσπερίδες*: νύμφαι θυγατέρες τῆς Νυκτὸς —*Λιβύην*: χώραν τῆς Ἀφρικῆς.—12. *Κέρβερον*: τὸν κύνα, τὸν φύλακα τοῦ Ἅδου. —*Αἰτοῦντος Πλούτωνα:* ζητοῦντος παρὰ τοῦ Πλούτ.—*χωρίς...κρατοῦντα:* γινό-

των παντοίων εἶχεν ὄφεων κεφαλάς. Καὶ παραγενόμενος ἐπὶ Ταίναρον τῆς Λακωνικῆς, οὗ τῆς Ἅδου καταβάσεως τὸ στόμιόν ἐστι, διὰ τούτου κατῄει. Ὁπηνίκα δὲ εἶδον αὐτὸν αἱ ψυχαί, ἔφυγον. Αἰτοῦντος δὲ αὐτοῦ Πλούτωνα τὸν Κέρβερον, ἐπέταξεν ὁ Πλούτων ἄγειν χωρὶς ὧν εἶχεν ὅπλων κρατοῦντα. Ὁ δὲ εὑρὼν αὐτὸν ἐπὶ ταῖς πύλαις τοῦ Ἀχέροντος τῷ τε θώρακι συμπεφραγμένος καὶ τῇ λεοντῇ συσκεπασθεὶς καὶ περιβαλὼν τῇ κεφαλῇ τὰς χεῖρας οὐκ ἀνῆκε καίπερ δακνόμενος ὑπὸ τοῦ κατὰ τὴν οὐρὰν δράκοντος, κρατῶν δὲ ἐκ τοῦ τραχήλου καὶ ἄγχων τὸ θηρίον ἔπεισε. Συλλαβὼν οὖν αὐτὸν ἧκε, διὰ Τροιζῆνος ποιησάμενος τὴν ἀνάβασιν. Εὐρυσθεῖ δὲ δείξας τὸν Κέρβερον πάλιν ἐκόμισεν εἰς Ἅδου.

### 4. Θάνατος Ἡρακλέους. Ἀθανασία αὐτοῦ.

Μετὰ δὲ τοὺς ἄθλους Ἡρακλῆς παραγενόμενος εἰς Καλυδῶνα τὴν Οἰνέως θυγατέρα Δηιάνειραν ἔγημεν. Ἄγων δὴ Δηιάνειραν ἐπὶ ποταμὸν Εὔηνον ἧκεν, ἐν ᾧ καθεζόμενος Νέσσος ὁ Κένταυρος διεπόρθμευε μισθοῦ. Ἐνταῦθα Ἡρακλῆς τοῦτον ἐτόξευσεν εἰς τὴν καρδίαν. Ὁ δὲ μέλλων τελευτᾶν, προσκαλεσάμενος Δηιάνειραν εἶπεν, εἰ θέλοι φίλτρον πρὸς Ἡρακλέα ἔχειν, τὸ ῥυὲν ἐκ τοῦ τραύματος αἷμα λαβεῖν. Ἡ δὲ ποιήσασα τοῦτο ἐφύλαττε παρ' ἑαυτῇ. Στρατεύσας δ' εἶτα ἐπ' Οἰχαλίαν αἱρεῖ τὴν πόλιν καὶ τὴν Ἰόλην, Εὐρύτου τοῦ βασιλέως θυγατέρα, ἦγεν αἰχμάλωτον. Καὶ προσορμισθεὶς Κηναίῳ, Εὐβοίας ἀκρωτηρίῳ, Διὸς Κηναίου βωμὸν ἱδρύσατο. Μέλλων δὲ ἱερουργεῖν, εἰς Τραχῖνα τὸν κήρυκα ἔπεμψε λαμπρὰν ἐσθῆτα οἴσοντα. Παρὰ δὲ τούτου τὰ περὶ τὴν Ἰόλην Δηιάνειρα πυθομένη καὶ δείσασα μὴ μᾶλλον ἐκείνην ἀγαπήσῃ, νομίσασα ταῖς ἀληθείαις φίλτρον εἶναι τὸ ῥυὲν αἷμα Νέσσου, τούτῳ τὸν χιτῶνα ἔχρισεν. Ἐνδὺς δὲ Ἡρακλῆς ἔθυεν. Ὡς δὲ θερμανθέντος

---

μενος κύριος αὐτοῦ ἄνευ τῶν ὅπλων, ἃ εἶχεν.-*οὐκ ἀνῆκε*: δὲν ἀφῆκεν αὐτόν.-*ἔπεισε*: νὰ τὸν ἀκολουθήσῃ.-4. *Καλυδῶνα* : πόλις τῆς Αἰτωλίας.—*φίλτρον*: μέσον ἵνα ἑλκύσῃ τὴν ἀγάπην.—*Οἰχαλίαν*: πόλιν τῆς Θεσσαλίας πλησίον τοῦ Πηνειοῦ.-*Τραχῖνα*: πόλις καὶ χώρα τῆς Φθιώτιδος, ἔνθα διέμενεν ἡ γυνὴ τοῦ Ἡρακλ. Δηιάνειρα. —*οἴσοντα*: ἵνα φέρῃ.—*τῆς Ὕδρας*: Ὁ Ἡρακλῆς φονεύσας τὴν Λερναίαν Ὕδραν εἶχε βάψει τὰ βέλη αὐτοῦ εἰς τὸ δηλητηριῶδες αὐτῆς αἷμα- Ἕνεκα τούτου τὸ αἷμα τοῦ Κενταύρου τραυματισθέντος διὰ τοῦ βέλους τοῦ Ἡρακλέους εἶχε καταστῇ δηλητήριον.—*τόν χρῶτα*: τὰς σάρκας.—*Λίχαν*: τὸν κήρυκα.— *ἑαυτὴν ἀνήρτησεν*:

τοῦ χιτῶνος, ὁ τῆς Ὕδρας ἰὸς τὸν χρῶτα ἔσηπε, τὸν μὲν Λίχαν τῶν ποδῶν ἀράμενος κατηκόντισε, τὸν δὲ χιτῶνα ἀπέσπα προσπεφυκότα τῷ σώματι· συναπεσπῶντο δὲ αἱ σάρκες αὐτῷ. Τοιαύτῃ δὲ συμφορᾷ κατασχεθεὶς εἰς Τραχῖνα ἐπὶ νεὼς κομίζεται. Δηιάνειρα δὲ αἰσθομένη τὰ γεγονὸς ἑαυτὴν ἀνήρτησεν. Ἡρακλῆς δὲ παραγενόμενος εἰς Οἴτην ὄρος, ἐκεῖ πυρὰν ποιήσας ἐκέλευεν ἐπιβάντος ὑφάπτειν. Μηδενὸς δὲ τοῦτο πράττειν ἐθέλοντος, Ποίας, παριὼν κατὰ ζήτησιν ποιμνίων ὑφῆψε. Καιομένης δὲ τῆς πυρᾶς, λέγεται νέφος ὑποστὰν μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι. Ἐκεῖθεν δὲ τυχὼν ἀθανασίας, τὴν Ἥρας θυγατέρα Ἥβην ἔγημεν.

## 16. Ἡρακλεῖδαι.

Μετὰ τὴν Ἡρακλέους ἀποθέωσιν οἱ παῖδες αὐτοῦ κατῴκουν ἐν Τραχῖνι παρὰ Κήϋκι τῷ βασιλεῖ. Μετὰ δὲ ταῦτα Ὕλλου καί τινων ἑτέρων ἀνδρωθέντων, Εὐρυσθεὺς φοβηθεὶς μὴ πάντων ἐνηλίκων γενομένων ἐκπέσῃ τῆς ἐν Μυκήναις βασιλείας, ἔγνω τοὺς Ἡρακλείδας ἐξ ὅλης τῆς Ἑλλάδος φυγαδεῦσαι. Διὸ Κήϋκι μὲν τῷ βασιλεῖ προηγόρευσε τοὺς Ἡρακλείδας ἐκβαλεῖν, ἢ ταῦτα μὴ ποιοῦντα πόλεμον ἀναδέξασθαι. Οἱ δὲ Ἡρακλεῖδαι θεωροῦντες ἑαυτοὺς οὐκ ἀξιομάχους ὄντας Εὐρυσθεῖ πολεμεῖν ἔγνωσαν ἑκουσίως φεύγειν ἐκ τῆς Τραχῖνος· ἐπιόντες δὲ τῶν ἄλλων πόλεων τὰς ἀξιολογωτάτας ἐδέοντο δέξασθαι σφᾶς αὐτοὺς συνοίκους. Μηδεμιᾶς δὲ τολμώσης ὑποδέξασθαι, μόνοι τῶν ἄλλων Ἀθηναῖοι διὰ τὴν ἔμφυτον αὐτοῖς ἐπιείκειαν προσεδέξαντο τοὺς Ἡρακλείδας.

Μετὰ δέ τινα χρόνον ἁπάντων τῶν Ἡρακλέους παίδων ἠνδρωμένων καὶ φρονήματος ἐμφυομένου τοῖς νεανίσκοις διὰ τὴν ἀφ' Ἡρακλέους δόξαν, ὑφορώμενος αὐτῶν τὴν αὔξησιν Εὐρυσθεὺς ἐστράτευσεν ἐπ' αὐτοὺς μετὰ πολλῆς δυνάμεως. Οἱ δ' Ἡρακλεῖδαι, βοηθούντων αὐτοῖς τῶν Ἀθηναίων, ἐνίκησαν παρατάξει τὸν Εὐρυσθέα. Κατὰ δὲ τὴν μάχην πλεῖστοι μὲν τῶν μετ' Εὐρυσθέως κατεκόπησαν, αὐτὸς δ' Εὐρυσθεύς, τοῦ ἅρματος κατὰ τὴν φυγὴν συντριβέντος ὑπὸ Ὕλλου τοῦ

---

ἐκρεμάσθη.— *ἐπιβάντος:* ὅταν αὐτὸς ἀναβῇ ἐπ' αὐτῆς. *ὑποστάν:* ὑποδεχθέν.— 16. *ἐκπέσῃ:* ἐκδιωχθῇ ὑπὸ τῶν Ἡρακλειδῶν.—*ἔγνω:* ἀπεφάσισεν, ἔκρινε καλόν. *ἐπιείκειαν:* ἀρετήν, χρηστότητα.—*ὑφορώμενος:* ὑποπτεύων.—*εὐημερίαν* : εὐτυχίαν.—*ἀπήντησεν:* ἐξῆλθεν εἰς ἀπάντησιν, ἵνα πολεμήσῃ.—*Ἰσθμόν:* τῆς Κορίν-

Ἡρακλέους ἀνῃρέθη· ὁμοίως δὲ καὶ οἱ υἱοὶ τοῦ Εὐρυσθέως πάντες κατὰ τὴν μάχην ἐτελεύτησαν.

Μετὰ δὲ ταῦτα οἱ Ἡρακλεῖδαι πάντες περιβοήτῳ μάχῃ νενικηκότες τὸν Εὐρυσθέα καὶ διὰ τὴν εὐημερίαν συμμάχων εὐπορήσαντες ἐστράτευσαν ἐπὶ τὴν Πελοπόννησον, Ὕλλου στρατηγοῦντος. Ἀτρεὺς δὲ μετὰ τὴν Εὐρυσθέως τελευτὴν καταλαβόμενος τὴν ἐν Μυκήναις βασιλείαν καὶ προσλαβόμενος συμμάχους Τεγεάτας καί τινας ἄλλους ἀπήντησε τοῖς Ἡρακλείδαις.

Κατὰ δὲ τὸν Ἰσθμὸν τῶν στρατοπέδων ἀθροισθέντων, Ὕλλος μὲν ὁ Ἡρακλέους εἰς μονομαχίαν προεκαλέσατο τῶν πολεμίων τὸν βουλόμενον ὁμολογίας θέμενος τοιαύτας, εἰ μὲν Ὕλλος νικήσει τὸν ἀντιταχθέντα, παραλαβεῖν Ἡρακλείδας τὴν Εὐρυσθέως βασιλείαν, εἰ δὲ Ὕλλος λειφθείη, μὴ κατιέναι τοὺς Ἡρακλείδας εἰς Πελοπόννησον ἐντὸς ἐτῶν πεντήκοντα. Καταβάντος δὲ εἰς τὴν πρόσκλησιν Ἐχέμου τοῦ βασιλέως τῶν Τεγεατῶν καὶ τῆς μονομαχίας γενομένης, ὁ μὲν Ὕλλος ἀνῃρέθη, οἱ δὲ Ἡρακλεῖδαι κατὰ τὰς ὁμολογίας ἀπέστησαν τῆς καθόδου.

Ὡς δὲ ὁ πεντηκονταετὴς χρόνος διῆλθε, κατῆλθον εἰς Πελοπόννησον· καὶ συμβαλόντες τοῖς πολεμίοις κρατοῦσι Πελοποννήσου καὶ τρεῖς ἱδρύσαντο βωμοὺς πατρῴου Διὸς καὶ ἐπὶ τούτων ἔθυσαν καὶ ἐκληροῦντο τὰς πόλεις. Τήμενος μὲν οὖν λαμβάνει Ἄργος, Προκλῆς δὲ καὶ Εὐρυσθένης Λακεδαίμονα, Κρεσφόντης δὲ Μεσσήνην.

## 18. Θησεύς.

### 1. Πορεία ἐκ Τροιζῆνος εἰς Ἀθήνας.

Θησεὺς τραφεὶς ἐν Τροιζῆνι παρὰ Πιτθεῖ τῷ μητροπάτορι καὶ τὰ σύμβολα ἀνῃρημένος τὰ ὑπὸ Αἰγέως ὑπό τινι πέτρᾳ τεθειμένα ἦλθεν εἰς Ἀθήνας. Διεξιὼν δ', ὥς φασι, τὴν παραθαλάττιον καὶ ζηλωτὴς

---

θου.—*ὁμολογίας* : συμφωνίας.—*λειφθείη* : ἡττηθείη, ἤθελε νικηθῆ.— *συμβαλόντες* : συμπλακέντες.

1. *τῷ μητροπάτορι* : τῷ πατρὶ τῆς μητρός του Αἴθρας.—*τὰ σύμβολα* : ὁ Αἰγεύς, ἵνα πεισθῇ ὅτι ὁ Θησεὺς ἦτο υἱὸς ἑαυτοῦ, εἶχε θέσει ὑπὸ πέτραν ὑπερμεγέθη πλησίον τῆς Τροιζῆνος τὸ ξίφος καὶ τὰ πέδιλα, ἅτινα ὤφειλεν ὁ Θησεύς, μετακινήσας τὸν λί-

ὧν τῆς Ἡρακλέους ἀρετῆς, ἐπεβάλετο τελεῖν ἄθλους περιέχοντας ἀποδοχήν τε καὶ δόξαν. Πρῶτον μὲν οὖν ἀνεῖλε τὸν ὀνομαζόμενον Κορυνήτην χρώμενον τῇ προσαγορευομένῃ κορύνῃ, ὅπερ ἦν ὅπλον ἀμυντήριον, καὶ τοὺς παριόντας ἀποκτείνοντα. Δεύτερον δὲ τὸν ἐν Ἰσθμῷ κατοικοῦντα Σίνιν. Οὗτος γὰρ δύο πίτυς κάμπτων καὶ πρὸς ἑκατέραν τὸν ἕνα βραχίονα προσδεσμεύων ἄφνω τὰς πίτυς ἀφίει· διόπερ τῶν σωμάτων διὰ τὴν βίαν ἀποσπωμένων, συνέβαινε τοὺς ἀτυχοῦντας μετὰ μεγάλης τιμωρίας τελευτᾶν. Τρίτον δὲ τὴν ἐν Κρομμυῶνι ὑπάρχουσαν ὗν ἀγρίαν διαφέρουσαν ἀλκῇ τε καὶ μεγέθει καὶ πολλοὺς ἀνθρώπους ἀναιροῦσαν ἀπέκτεινεν. Ἐκόλασε δὲ καὶ Σκείρωνα τὸν οἰκοῦντα τῆς Μεγαρίδος τὰς ὀνομαζομένας ἀπ' ἐκείνου Σκειρωνίδας πέτρας. Οὗτος γὰρ εἰώθει τοὺς παριόντας ἀναγκάζειν ἀπονίπτειν ἑαυτὸν ἐπί τινος ἀποκρήμνου τόπου, λακτίσματι δὲ ἄφνω τύπτων περιεκύλιε κατὰ τῶν κρημνῶν εἰς θάλατταν κατὰ τὴν ὀνομαζομένην Χελώνην. Ἀνεῖλε δὲ καὶ περὶ τὴν Ἐλευσῖνα Κερκύονα τὸν διαπαλαίοντα τοῖς παριοῦσι καὶ τὸν ἡττηθέντα διαφθείροντα. Μετὰ δὲ ταῦτα τὸν ὀνομαζόμενον Προκρούστην ἀπέκτεινε τὸν οἰκοῦντα ἐν τῷ λεγομένῳ Κορυδαλλῷ τῆς Ἀττικῆς. Οὗτος δὲ τοὺς παριόντας ὁδοιπόρους ἠνάγκαζεν ἐπί τινος κλίνης ἀναπίπτειν καὶ τῶν μὲν μακροτέρων τὰ προέχοντα μέλη τοῦ σώματος ἀπέκοπτε, τῶν δ' ἐλαττόνων τοὺς πόδας προέκρουεν, ἀφ' οὗπερ Προκρούστης ὠνομάσθη. Κατορθώσας δὲ τὰ προειρημένα ἀφίκετο εἰς Ἀθήνας.

### 2. Φόνος ταύρου.

Μετὰ δὲ ταῦτα τὸν ἐν Μαραθῶνι ταῦρον, ὃν Ἡρακλῆς τελῶν ἆθλον ἐκ Κρήτης ἀπήγαγεν εἰς Πελοπόννησον συμπλακεὶς καὶ κρατήσας τοῦ ζῴου ἀπήγαγεν εἰς τὰς Ἀθήνας· τοῦτον δὲ Αἰγεὺς παραλαβὼν ἔθυσεν Ἀπόλλωνι.

### 3. Πόλεμος κατὰ Κενταύρων.

Μετὰ δὲ ταῦτα Λαπίθαις σύμμαχος γενόμενος ἐστρατεύσατο ἐπὶ Κενταύρους τοὺς διφυεῖς, οἳ καὶ τάχει καὶ ῥώμῃ καὶ τόλμῃ διενεγκόντες τὰς μὲν ἐπόρθουν, τὰς ἔμελλον, ταῖς δ' ἠπείλουν τῶν πόλεων

---

θον, νὰ ἀναλάβῃ.—*ἐπεβάλετο*: ἐπεχείρησε.—*ἀποδοχὴν*: τιμήν.—2. ταῦρον: ὅρα σελ. 89.— 3. *Λαπίθαις*: ἔθνος πολεμικὸν τῆς Θεσσαλίας περὶ τὸν Πηνειόν.—*τοὺς διφυεῖς*: τὸ μὲν ἄνω μέρος τοῦ σώματος ἦτο ἐξ ἀνθρώπου, τὸ δὲ κάτω ἐξ ἵππου.

καὶ τούτους μάχῃ νικήσας εὐθὺς μὲν αὐτῶν τὴν ὕβριν ἔπαυσεν, οὐ πολλῷ δ' ὕστερον τὸ γένος ἐξ ἀνθρώπων ἠφάνισεν.

### 4. Φόνος Μινωταύρου.

Αἰγεὺς ἐπιβουλεύσας Ἀνδρόγεῳ, Μίνωος βασιλέως τῆς Κρήτης υἱῷ, ἐδολοφόνησεν αὐτὸν διά τινος τῶν ἐγχωρίων περὶ Οἰνόην τῆς Ἀττικῆς. Μίνως δὲ πυθόμενος τὴν κατὰ τὸν υἱὸν συμφορὰν ἧκεν εἰς τὰς Ἀθήνας δίκας αἰτῶν τοῦ Ἀνδρόγεω φόνου. Οὐδενὸς δ' αὐτῷ προσέχοντος, πρὸς μὲν Ἀθηναίους πόλεμον συνεστήσατο, ἀρὰς δὲ ἐποιήσατο τῷ Διὶ γενέσθαι κατὰ τὴν πόλιν τῶν Ἀθηναίων αὐχμὸν καὶ λιμόν. Ταχὺ δὲ περὶ τὴν Ἀττικὴν γενομένων αὐχμῶν καὶ φθαρέντων τῶν καρπῶν, ἠναγκάσθησαν Ἀθηναῖοι τὸν θεὸν ἐπερωτῆσαι περὶ τῆς τῶν κακῶν ἀπαλλαγῆς. Εἶθ' ὁ μὲν θεὸς ἔχρησεν, ἐὰν τοῦ Ἀνδρόγεω φόνου τῷ Μίνῳ δίκας δῶσιν, ἃς ἂν ἐκεῖνος δικάσῃ. Ὑπακουσάντων δὲ τῷ θεῷ τῶν Ἀθηναίων, προσέταξεν αὐτοῖς ὁ Μίνως διδόναι νέους ἑπτὰ καὶ τὰς ἴσας κόρας δι' ἐτῶν ἐννέα, βορὰν τῷ Μινωταύρῳ. Δόντων δ' αὐτῶν ἀπηλλάγησαν τῶν κακῶν οἱ κατὰ τὴν Ἀττικὴν καὶ ὁ Μίνως πολεμῶν ἐπαύσατο τὰς Ἀθήνας. Διελθόντων δ' ἐτῶν ἐννέα, πάλιν ὁ Μίνως ἦλθεν εἰς τὴν Ἀττικὴν μετὰ μεγάλου στόλου καὶ τοὺς δὶς ἑπτὰ νέους ἀπαιτήσας ἔλαβε. Θησεὺς δὲ ἰδὼν αὐτοὺς ἀγομένους καὶ πανδημεὶ προπεμπομένους ἐπὶ θάνατον ἄνομον καὶ πενθουμένους ἔτι ζῶντας οὕτως ἠγανάκτησεν, ὥσθ' ἡγήσατο κρεῖττον εἶναι τεθνάναι μᾶλλον, ἢ ζῆν ἄρχων τῆς πόλεως τῆς οὕτως οἰκτρὸν τοῖς ἐχθροῖς φόρον ὑποτελεῖν ἠναγκασμένης καὶ σύμπλους αὐτοῖς ἐγένετο. Μελλόντων δὲ ἐκπλεῖν τῶν περὶ τὸν Θησέα, ὁ Αἰγεὺς συνέθετο πρὸς τὸν κυβερνήτην, ἐὰν μὲν ὁ Θησεὺς νικήσῃ τὸν Μινώταυρον, καταπλεῖν αὐτοὺς λευκοῖς ἱστίοις, ἐὰν δὲ ἀπόληται, μέλασι. Καταπλευσάντων δὲ αὐτῶν εἰς Κρήτην, Θησεὺς εἰς λόγους ἐλθὼν Ἀριάδνῃ, θυγατρὶ τοῦ Μίνωος, καὶ ταύτην συνεργὸν λαβὼν τόν τε Μινώταυρον ἀπέκτεινε καὶ τὴν ἔξοδον τὴν τοῦ λαβυρίνθου, ἐν ᾧ ὁ Μινώταυρος ἐφυλάττετο, παρ' αὐτῆς μαθὼν διεσώθη. Ἐπιλαθόμενοι δὲ τῆς Αἰγέως παραγγελίας, τοῖς μέλασιν ἱστίοις κα-

---

4. *αὐχμόν*: ξηρασίαν.— *ἔχρησεν*: ἔδωκε χρησμόν.— *Ἐὰν... δῶσιν*: ἐνν. ἀπαλλαγήσονται τῶν κακῶν.— *Δι' ἐτῶν ἐννέα*: καθ' ἕκαστον ἔνατον ἔτος.— *Μινωταύρῳ*: τέρας, ὅπερ εἶχεν ἐγκεκλεισμένον ὁ Μίνως ἐν πολυπλοκωτάτῳ οἰκοδομήματι, καλουμένῳ Λαβυρίνθῳ.— *συνέθετο*: συνεφώνησε.

τέπλευσεν εἰς τὴν Ἀττικήν. Αἰγεὺς δὲ θεασάμενος τὸν κατάπλουν καὶ δόξας τεθνηκέναι τὸν υἱὸν ἀναβὰς εἰς τὴν ἀκρόπολιν διὰ τὴν ὑπερβολὴν τῆς λύπης ἑαυτὸν κατεκρήμνισε.

5. Βασιλεία καὶ θάνατος Θησέως.

Μετὰ δὲ τὴν Αἰγέως τελευτὴν Θησεὺς διαδεξάμενος τὴν βασιλείαν ἦρχε τοῦ πλήθους νομίμως καὶ πολλὰ πρὸς αὔξησιν τῆς πατρίδος ἔπραξε Μετὰ ταῦτα δὲ καταστασιασθεὶς καὶ φυγὼν ἐκ τῆς πατρίδος ἐπὶ τῆς ξένης ἐτελεύτησεν. Οἱ δὲ Ἀθηναῖοι μεταμεληθέντες τά τε ὀστᾶ μετήνεγκον καὶ τιμαῖς ἰσοθέοις ἐτίμησαν αὐτὸν καὶ τέμενος ἄσυλον ἐποίησαν ἐν ταῖς Ἀθήναις τὸ προσαγορευόμενον ἀπ' ἐκείνου Θησεῖον.

## 19. Μαντεῖον Δελφῶν.

Λέγεται τὸ παλαιὸν αἶγας εὑρεῖν τὸ μαντεῖον τῶν Δελφῶν. Τὸν δὲ τρόπον τῆς εὑρέσεως γενέσθαι φασὶ τοιοῦτον. Ὄντος χάσματος ἐν τουτῳ τῷ τόπῳ καὶ περὶ τοῦτο γενομένων αἰγῶν διὰ τὸ μήπω κατοικεῖσθαι τοὺς Δελφούς, ἀεὶ τῷ χάσματι τὴν προσιοῦσαν καὶ προσβλέψασαν αὐτῷ σκιρτᾶν θαυμαστῶς καὶ προΐεσθαι φωνὴν διάφορον ἢ πρότερον εἰώθη φθέγγεσθαι. Τὸν δ' ἐπιστατοῦντα ταῖς αἰξὶ θαυμάσαι τὸ παράδοξον καὶ προσελθόντα τῷ χάσματι καὶ κατιδόντα οἷόν περ ἦν ταὐτὸ παθεῖν ταῖς αἰξίν· ἐκείνας τε γὰρ ὅμοια ποιεῖν τοῖς ἐνθουσιάζουσι καὶ τοῦτον προλέγειν τὰ μέλλοντα γίγνεσθαι. Μετὰ δὲ ταῦτα τῆς φήμης παρὰ τοῖς ἐγχωρίοις διαδοθείσης περὶ τοῦ πάθους τῶν προσιόντων τῷ χάσματι, πλείους ἀπαντᾶν ἐπὶ τὸν τόπον· διὰ δὲ τὸ παράδοξον πάντων ἀποπειρωμένων, τοὺς ἀεὶ πλησιάζοντας ἐνθουσιάζειν. Καὶ χρόνον μέν τινα τοὺς βουλομένους μαντεύεσθαι προσιόντας τῷ χάσματι ποιεῖσθαι τὰς μαντείας ἀλλήλοις· μετὰ δὲ ταῦτα πολλῶν καθαλλομένων εἰς τὸ χάσμα διὰ τὸν ἐνθουσιασμὸν καὶ πάντων ἀφανιζομένων, δόξαι τοῖς κατοικοῦσι περὶ τὸν τόπον, ἵνα μηδεὶς κινδυνεύῃ, προφῆτίν τε μίαν πᾶσι καταστῆσαι γυναῖκα καὶ διὰ ταύτης γίγνεσθαι τὴν χρησμολογίαν. Ταύτῃ δὲ κατασκευασθῆναι μηχανήν, ἐφ' ἣν ἀναβαί-

5. *καταστασιασθείς*: νικηθεὶς εἰς ἐκραγεῖσαν στάσιν.—19. *γενομένων*: ἐλθουσῶν.— *ἀεὶ..τὴν προσιοῦσαν*: ἡ ἑκάστοτε πλησιάζουσα.— *καθαλλομένων* : πηδώντων κάτω εἰς τὸ χάσμα.— *δόξαι τοῖς κατοικοῦσιν*: οἱ κάτοικοι ἀπεφάσισαν.— *ταύτῃ*: διὰ ταύτην.— *ἀσφαλῶς*: ἄνευ κινδύνου.—*ἐνθουσιάζειν*: γίνεται ἔνθεος.

νουσαν ἀσφαλῶς ἐνθουσιάζειν καὶ μαντεύεσθαι τοῖς βουλομένοις. Εἶναι δὲ τὴν μηχανὴν τρεῖς ἔχουσαν βάσεις, ἀφ' ὧν αὐτὴν τρίποδα κληθῆναι.

## 22. Περσεύς.

### 1. Γέννησις καὶ σωτηρία αὐτοῦ.

Ἀκρισίῳ περὶ παίδων γενέσεως ἀρρένων χρηστηριαζομένῳ ὁ θεὸς ἔφη γενήσεσθαι παῖδα ἐκ τῆς θυγατρός, ὃς αὐτὸν ἀποκτενεῖ. Δείσας οὖν Ἀκρίσιος τοῦτο τὴν θυγατέρα Δανάην μετὰ τοῦ ὕστερον αὐτῆς γεννηθέντος παιδὸς Περσέως εἰς λάρνακα βαλὼν ἔρριψεν εἰς θάλασσαν. Προσενεχθείσης δὲ τῆς λάρνακος Σερίφῳ, Δίκτυς αὐτοὺς ἐξέλκει δικτύῳ ἁλιεύων. Εἶτα ἡ Δανάη ἀνοῖξαι ἱκετεύει τὴν λάρνακα. Ὁ δὲ ἀνοίξας καὶ μαθὼν οἵτινές εἰσιν ἄγει εἰς τὸν οἶκον καὶ τρέφει αὐτούς.

### 2. Φόνος Γοργόνος Μεδούσης.

Βασιλεύων δὲ τῆς Σερίφου Πολυδέκτης ἀδελφὸς Δίκτυος, ἠνδρωμένου Περσέως, ἐπέταξεν αὐτῷ τῆς Γοργόνος κομίζειν τὴν κεφαλήν. Ὁ δὲ Ἑρμοῦ καὶ Ἀθηνᾶς προκαθηγουμένων ἐπὶ τὰς Φόρκου γίγνεται θυγατέρας, Ἐνυώ, Πεφρηδώ, Δεινώ· ἦσαν δὲ αὗται Κητοῦς τε καὶ Φόρκου, Γοργόνων ἀδελφαί, γραῖαι ἐκ γενετῆς. Ἕνα τε ὀφθαλμὸν αἱ τρεῖς καὶ ἕνα ὀδόντα εἶχον καὶ ταῦτα παρὰ μέρος ἤμειβον ἀλλήλαις. Ὧν κυριεύσας ὁ Περσεύς, ὡς ἀπήτουν, ἔφη δώσειν, ἂν ὑφηγήσωνται τὴν ὁδὸν τὴν ἐπὶ τὰς νύμφας φέρουσαν. Αὗται δὲ αἱ νύμφαι πτηνὰ εἶχον πέδιλα καὶ τὴν κίβισιν· εἶχον δὲ καὶ τὴν κυνῆν. Ὑφηγησαμένων δὲ τῶν Φορκίδων, ἀποδοὺς τόν τε ὀδόντα καὶ τὸν ὀφθαλμὸν αὐταῖς καὶ παραγενόμενος πρὸς τὰς νύμφας καὶ τυχὼν ὧν ἐσπούδαζε τὴν μὲν κίβισιν περιεβάλετο, τὰ δὲ πέδιλα τοῖς σφυροῖς προσήρμοσε, τὴν δὲ κυ-

---

1. *Ἀκρισίῳ*: βασιλεὺς τοῦ Ἄργους, πάππος τοῦ Περσέως.—*χρηστηριαζομένῳ*: ὅτε ἐζήτει χρησμόν.—*λάρνακα*: κιβωτόν.—*Σερίφῳ*: νῆσος τοῦ Αἰγαίου.—2. *προκαθηγουμένων* : ὁδηγούντων.—*γίγνεται*: ἔρχεται.—*παρὰ μέρος ἤμειβον* : διαδοχικῶς, μὲ τὴν σειρὰν ἤλλασον, ἐλάμβανον, μετεχειρίζοντο.—*ὧν*: τοῦ ὀφθαλμοῦ καὶ τοῦ ὀδόντος.—*κυριεύσας*: γενόμενος κύριος, λαβών.—*ἀπήτουν*: ἐζήτουν (τὸν ὀφθαλμὸν καὶ τὸν ὀδόντα παρὰ τοῦ Περσέως).—*πτηνά*: πτερωτά, μὲ πτέρυγας.—*κίβισιν*: πήραν, σακκοῦλαν.—*κυνῆν*: περικεφαλαίαν.—*τῶν Φορκίδων*: τῶν θυγατέρων τοῦ Φόρκου.—*περιεβάλετο* : ἐφόρεσεν, ἐκρέμασεν ἐπάνω του.—*τὰ πέδιλα τοῖς σφυροῖς*: διὰ τοῦτο ἡ τέχνη παρέστησε τὸν Περσέα φοροῦντα πτερωτὰ πέδιλα.—*ἀδαμαντίνην*

νὴν τῇ κεφαλῇ ἐπέθετο. Ταύτην ἔχων αὐτὸς μὲν οὓς ἤθελεν ἔβλεπεν, ὑπὸ ἄλλων δὲ οὐχ ἑωρᾶτο. Λαβὼν δὲ καὶ παρὰ Ἑρμοῦ ἀδαμαντίνην ἅρπην, πετόμενος εἰς τὸν Ὠκεανόν, ἧκε καὶ κατέλαβε τὰς Γοργόνας κοιμωμένας. Ἦσαν δὲ αὗται Σθενώ, Εὐρυάλη, Μέδουσα. Μόνη δὲ ἦν θνητὴ Μέδουσα· διὰ τοῦτο ἐπὶ τὴν ταύτης κεφαλὴν Περσεὺς ἐπέμφθη. Εἶχον δὲ αἱ Γοργόνες κεφαλὰς μὲν περιεσπειραμένας φολίσι δρακόντων, ὀδόντας δὲ μεγάλους ὡς συῶν καὶ χεῖρας χαλκᾶς καὶ πτέρυγας χρυσᾶς, δι' ὧν ἐπέτοντο. Τοὺς δὲ ἰδόντας λίθους ἐποίουν. Ἐπιστὰς οὖν αὐταῖς ὁ Περσεὺς κοιμωμέναις, κατευθυνούσης τὴν χεῖρα Ἀθηνᾶς ἀπεστραμμένος καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, δι' ἧς τὴν εἰκόνα τῆς Γοργόνος ἔβλεπεν, ἐκαρατόμησεν αὐτήν. Ἀποτμηθείσης δὲ τῆς κεφαλῆς, ἐκ τῆς Γοργόνος ἐξέθορε Πήγασος, πτηνὸς ἵππος. Ὁ μὲν Περσεὺς ἐνθέμενος εἰς τὴν κίβισιν τὴν κεφαλὴν τῆς Μεδούσης ὀπίσω πάλιν ἐχώρει· αἱ δὲ Γοργόνες ἐκ τῆς κοίτης ἀναστᾶσαι τὸν Περσέα ἐδίωκον καὶ συνιδεῖν αὐτὸν οὐκ ἐδύναντο διὰ τὴν κυνῆν· ἀπεκρύπτετο γὰρ ὑπ' αὐτῆς.

### 3. Σωτηρία Ἀνδρομέδας.

Παραγενόμενος δὲ εἰς Αἰθιοπίαν, ἧς ἐβασίλευε Κηφεύς, εὗρε τὴν τούτου θυγατέρα Ἀνδρομέδαν παρακειμένην βορὰν θαλασσίῳ κήτει. Κασσιέπεια γὰρ ἡ Κηφέως γυνὴ Νηρηίσιν ἤρισε περὶ κάλλους καὶ πασῶν εἶναι κρείσσων ηὔχησεν· ὅθεν αἱ Νηρηίδες ἐμήνισαν καὶ Ποσειδῶν αὐταῖς συνοργισθεὶς πλήμμυράν τε ἐπὶ τὴν χώραν ἔπεμψε καὶ κῆτος. Ἄμμωνος δὲ χρήσαντος τὴν ἀπαλλαγὴν τῆς συμφορᾶς, ἐὰν ἡ Κασσιεπείας θυγάτηρ Ἀνδρομέδα προτεθῇ τῷ κήτει βορά, τοῦτο ἀναγκασθεὶς ὁ Κηφεὺς ὑπὸ τῶν Αἰθιόπων ἔπραξε καὶ προσέδησε τὴν θυγατέρα πέτρᾳ. Ταύτην θεασάμενος ὁ Περσεὺς καὶ ἐρασθεὶς ἀναιρήσειν ὑπέσχετο Κηφεῖ τὸ κῆτος, εἰ μέλλει σωθεῖσαν αὐτὴν αὐτῷ δώσειν γυναῖκα. Ἐπὶ τούτοις γενομένων ὅρκων, ὑποστὰς τὸ κῆτος ἔκτεινε καὶ τὴν Ἀνδρομέδαν ἔλυσεν. Ἐπιβουλεύοντος δὲ αὐτῷ Φινέως, ὃς ἦν ἀδελφὸς τοῦ Κηφέως ἐγγυώμενος πρῶτος τὴν Ἀνδρομέδαν, μαθὼν τὴν

---

*ἅρπην*: δρέπανον σκληρότατον κατεσκευασμένον ἐκ σκληροτάτου σιδήρου ἢ χαλκοῦ. —*περιεσπειραμένας*: περικυκλωμένας. —*ἐξέθορεν*: ἐξεπήδησεν, ἐγεννήθη.

3. *ηὔχησεν*: ἐκαυχήθη. —*ἐμήνισαν*: ὠργίσθησαν. —*ἀναιρήσειν*: ὅτι θὰ φονεύσῃ. —*ἐπὶ τούτοις*: τοῖς ὅροις. —*ὑποστάς*: ἀντιταχθεὶς (κατὰ τοῦ κήτους). —*ἐγγυώμενος τὴν Ἀνδρομέδαν*: μνηστὴρ τῆς Ἀνδρομέδας.

Γοργόνα δείξας μετὰ τῶν συνεπιβουλευόντων αὐτὸν ἐλίθωσε παραχρῆμα.

### 4. Ἐπάνοδος εἰς Σέριφον.

Παραγενόμενος δὲ εἰς Σέριφον εἰσελθὼν εἰς τὰ βασίλεια συγκαλέσαντος τοῦ Πολυδέκτου τοὺς φίλους ἀπεστραμμένος τὴν κεφαλὴν τῆς Γοργόνος ἔδειξε· τῶν δὲ ἰδόντων ὁποῖον ἕκαστος ἔτυχε σχῆμα ἔχων ἀπελιθώθη. Καταστήσας δὲ τῆς Σερίφου Δίκτυν βασιλέα ἀπέδωκε τὰ μὲν πέδιλα καὶ τὴν κίβισιν καὶ τὴν κυνῆν Ἑρμῇ, τὴν δὲ κεφαλὴν τῆς Γοργόνος Ἀθηνᾷ. Ἑρμῆς μὲν οὖν τὰ προειρημένα πάλιν ἀπέδωκε ταῖς νύμφαις, Ἀθηνᾶ δὲ ἐν μέσῳ τῇ ἀσπίδι τῆς Γοργόνος τὴν κεφαλὴν ἀνέθηκε.

### 5. Θάνατος Ἀκρισίου.

Περσεὺς δὲ μετὰ Δανάης καὶ Ἀνδρομέδας ἔσπευδεν εἰς Ἄργος, ἵνα Ἀκρίσιον θεάσηται. Ὁ δὲ δεδοικὼς τὸν χρησμὸν ἀπολιπὼν Ἄργος εἰς τὴν Πελασγιῶτιν ἐχώρησε γῆν. Τευταμίου δὲ τοῦ Λαρισαίων βασιλέως ἐπὶ κατοιχομένῳ τῷ πατρὶ διατιθέντος γυμνικὸν ἀγῶνα, παρεγένετο καὶ ὁ Περσεὺς ἀγωνίσασθαι θέλων· ἀγωνιζόμενος δὲ πένταθλον τὸν δίσκον ἐπὶ τὸν Ἀκρισίου πόδα βαλὼν παραχρῆμα ἀπέκτεινεν αὐτόν. Αἰσθόμενος δὲ τὸν χρησμὸν τετελεσμένον τὸν μὲν Ἀκρίσιον ἔξω τῆς πόλεως ἔθαψεν, αἰσχυνόμενος δὲ εἰς Ἄργος ἐπανελθεῖν ἐπὶ τὸν κλῆρον τοῦ δι' αὐτοῦ τετελευτηκότος παραγενόμενος εἰς Τίρυνθα πρὸς τὸν Προίτου παῖδα Μεγαπένθην ἠλλάξατο τούτῳ τε τὸ Ἄργος ἐνεχείρισε. Καὶ Μεγαπένθης μὲν ἐβασίλευσεν Ἀργείων, Περσεὺς δὲ Τίρυνθος.

### 23. Ἄδμητος καὶ Ἄλκηστις.

Φέρης ὁ Κρηθέως Φερὰς ἐν Θεσσαλίᾳ κτίσας ἐγέννησεν Ἄδμητον καὶ Λυκοῦργον. Λυκοῦργος μὲν οὖν περὶ Νεμέαν κατῴκησεν. Ἀδμή-

---

4. *ἀπεστραμμένος*: ὁ Περσεύς.—*ὁποῖον....ἔτυχε....ἔχων*: εἰς ὁποίαν ἕκαστος στάσιν κατὰ τύχην εὑρίσκετο.—*ἐν μέσῃ τῇ ἀσπίδι*: εἰς τὸ μέσον τῆς ἀσπίδος. Ἡ Ἀθηνᾶ παρίσταται ὑπὸ τῆς τέχνης ἔχουσα ἐν τῷ μέσῳ τῆς ἀσπίδος τὴν κεφαλὴν τῆς Μεδούσης.—5. *Πελασγιῶτιν*: χώρα τῆς Θεσσαλίας.—*ἐπὶ κατοιχ. τῷ πατρί*: πρὸς τιμὴν τοῦ ἀποθανόντος πατρός του.—*πένταθλον*: ὁ ἀγὼν οὗτος συνέκειτο ἐκ πέντε διαφόρων ἀγωνισμάτων, *ἅλματος, δρόμου, δίσκου, ἀκοντίου, καὶ πάλης*.—*αἰσχυνόμενος*: διότι ἐφόνευσε τὸν πάππον του ἔστω καὶ ἄκων.—*ἐπὶ τὸν κλῆρον*: ἵνα λάβῃ τὴν κληρονομίαν. —23. *ὁ Κρηθέως*: υἱός. —*ἐθήτευσεν*: ἐδούλευσεν ὅρ.

τουδὲ βασιλεύοντος τῶν Φερῶν ἐθήτευσεν Ἀπόλλων αὐτῷ μνηστευομένῳ τὴν Πελίου θυγατέρα Ἄλκηστιν. Ἐκείνῳ δὲ δώσειν ἐπαγγειλαμένου Πελίου τὴν θυγατέρα τῷ κατεζεύξαντι ἅρμα λεόντων καὶ κάπρων, Ἀπόλλων ζεύξας ἔδωκεν· ὁ δὲ κομίσας πρὸς Πελίαν Ἄλκηστιν λαμβάνει. Θύων δὲ ἐν τοῖς γάμοις ἐξελάθετο Ἀρτέμιδι θῦσαι· διὰ τοῦτο τὸν θάλαμον ἀνοίξας εὗρε δρακόντων σπείραις πεπληρωμένον, Ἀπόλλων δὲ εἰπὼν ἐξιλάσκεσθαι τὴν θεὸν ᾐτήσατο παρὰ μοιρῶν ἵνα, ὅταν Ἄδμητος μέλλῃ τελευτᾶν, ἀπολυθῇ τοῦ θανάτου, ἂν ἑκουσίως τις ὑπὲρ αὐτοῦ θνήσκειν ἕληται. Ὡς δὲ ἦλθεν ἡ τοῦ θνήσκειν ἡμέρα, μήτε τοῦ πατρὸς μήτε τῆς μητρὸς ὑπὲρ αὐτοῦ θνήσκειν θελόντων, Ἄλκηστις ὑπεραπέθανε. Καὶ αὐτὴν πάλιν ἀνέπεμψεν ἡ Κόρη, ὡς δὲ ἔνιοι, λέγουσιν, Ἡρακλῆς μαχεσάμενος Ἅδῃ.

## 24. Φρίξος καὶ Ἕλλη.

Ἀθάμας δυναστεύων Βοιωτίας ἐκ Νεφέλης τεκνοῖ παῖδα μὲν Φρίξον, θυγατέρα δὲ Ἕλλην. Αὖθις δὲ Ἰνὼ γυναῖκα λαμβάνει, ἐξ ἧς αὐτῷ Λέαρχος καὶ Μελικέρτης ἐγένοντο. Ἐπιβουλεύουσα δὲ Ἰνὼ τοῖς Νεφέλης τέκνοις ἔπεισε τὰς γυναῖκας τὸν πυρὸν φρύγειν. Λαμβάνουσαι δὲ κρύφα τῶν ἀνδρῶν τοῦτο ἔπρασσον. Γῆ δὲ πεφρυγμένους πυροὺς δεχομένη καρποὺς ἐτησίους οὐκ ἀνεδίδου· διὸ πέμπων ὁ Ἀθάμας εἰς Δελφοὺς ἀπαλλαγὴν ἐπυνθάνετο τῆς ἀφορίας. Ἰνὼ δὲ τοὺς πεμφθέντας ἀνέπεισε λέγειν, ὡς εἴη κεχρησμένον παύσασθαι τὴν ἀκαρπίαν, ἐὰν σφαγῇ Διὶ ὁ Φρίξος. Τοῦτον ἀκούσας Ἀθάμας, συναναγκαζόμενος ὑπὸ τῶν τὴν γῆν κατοικούντων, τῷ βωμῷ παρέστησε Φρίξον. Νεφέλη δὲ μετὰ τῆς θυγατρὸς αὐτὸν ἀνήρπασε καὶ παρ' Ἑρμοῦ λαβοῦσα χρυσόμαλλον κριὸν ἔδωκεν, ἐφ' οὗ φερόμενοι δι' οὐρανοῦ γῆν ὑπερέβησαν καὶ θάλασσαν. Ὡς δὲ ἐγένοντο κατὰ τὴν μεταξὺ κειμένην θάλασσαν Σιγείου καὶ Χερρονήσου, ὤλισθεν εἰς τὸν βυθὸν ἡ Ἕλλη κἀκεῖ θανού-

---

σελ. 84. — *μνηστευομένῳ*: ὅτι ἐζήτει εἰς γάμον. — *ἐπαγγειλλαμένου*: ἐπειδὴ ὑπεσχέθη (ὁ Πελίας). — *Ἔδωκε*: τὸ ἅρμα δηλ. ἐξευγμένον εἰς τὸν Ἄδμητον. — *Ὁ δέ*: Ἄδμητος *κομίσας*: τὸ ἅρμα. *ἕληται* —: ποτιμήσῃ. — *Κόρη*: ἡ Περσεφόνη. 24. *δυναστεύων*: βασιλεύων. *τὸν — πυρόν*: τὸν σῖτον (ὃν ἔμελλον νὰ σπείρωσι). — *φρύγειν*: νὰ ξηραίνωσιν εἰς τὸ πῦρ. — *ἀπαλλαγὴν ἐπυνθάνετο*: ἐζήτει παρὰ τοῦ θεοῦ μέσον ἀπαλλαγῆς. — *ὡς εἴη κεχρησμένον*: ὅτι ἐδόθη χρησμός. — *τῷ βωμῷ παρέστησε*: ἔστησε πλησίον τοῦ βωμοῦ, ἵνα θυσιασθῇ. — *φυξίῳ*: τὸ ἐπίθετον τοῦτο ἀπεδίδετο εἰς τὸν Δία καὶ εἰς τὸν Ἀπόλλωνα ὡς προστάτας τῶν καταδιωκομένων καὶ ζητούντων καταφύγιον (ἄσυλον).

σης αὐτῆς ἀπ' ἐκείνης Ἑλλήσποντος ἐκλήθη τὸ πέλαγος. Φρίξος δὲ ἦλθεν εἰς Κόλχους, ὧν Αἰήτης ἐβασίλευε, παῖς Ἡλίου καὶ Περσηΐδος. Οὗτος αὐτὸν ὑποδέχεται καὶ μίαν τῶν θυγατέρων Χαλκιόπην δίδωσιν. Ὁ δὲ τὸν χρυσόμαλλον κριὸν Διὶ θύει Φυξίῳ, τὸ δὲ τούτου δέρας Αἰήτῃ δίδωσιν· ἐκεῖνος δὲ αὐτὸ περὶ δρῦν ἐν Ἄρεως ἄλσει καθήλωσεν. Ἐγένοντο δὲ ἐκ Χαλκιόπης Φρίξῳ παῖδες Ἄργος, Μέλας, Φρόντις, Κυτίσωρος.

## 25. Ἀργοναυτικὴ ἐκστρατεία.

### 1. Προσταγὴ Πελίου.

Αἴσονος τοῦ Κρηθέως καὶ Πολυμήδης τῆς Αὐτολύκου γίγνεται Ἰάσων. Οὗτος ᾤκει ἐν Ἰωλκῷ, τῆς δὲ Ἰωλκοῦ Πελίας ἐβασίλευσε μετὰ Κρηθέα, ᾧ χρωμένῳ περὶ τῆς βασιλείας ἐθέσπισεν ὁ θεὸς τὸν μονοσάνδαλον φυλάξασθαι. Τὸ μὲν οὖν πρῶτον ἠγνόει τὸν χρησμόν, αὖθις δὲ ὕστερον αὐτὸν ἔγνω. Τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ Ποσειδῶνι θυσίαν ἄλλους τε πολλοὺς ἐπὶ ταύτῃ καὶ τὸν Ἰάσονα μετεπέμψατο. Ὁ δὲ πόθῳ γεωργίας ἐν τοῖς χωρίοις διατελῶν ἔσπευσεν ἐπὶ τὴν θυσίαν, διαβαίνων δὲ ποταμὸν Ἄναυρον ἐξῆλθε μονοσάνδαλος, τὸ ἕτερον ἀπολέσας ἐν τῷ ῥείθρῳ πέδιλον. Θεασάμενος δὲ Πελίας αὐτὸν καὶ τὸν χρησμὸν συμβαλὼν ἠρώτα προσελθών, τί ἂν ἐποίησεν ἐξουσίαν ἔχων, εἰ λόγιον ἦν αὐτῷ πρός τινος φονευθήσεσθαι τῶν πολιτῶν. Ὁ δέ, εἴτε ἐπελθὸν ἄλλως, εἴτε διὰ μῆνιν Ἥρας, ἵν' ἔλθοι κακὸν Μήδεια Πελίᾳ (τὴν γὰρ Ἥραν οὐκ ἐτίμα), «τὸ χρυσόμαλλον δέρας» ἔφη «προσέταττον ἂν φέρειν αὐτῷ». Τοῦτο Πελίας ἀκούσας εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν ἐκέλευσεν αὐτόν. Τοῦτο ἐν Κόλχοις ἦν ἐν Ἄρεως ἄλσει κρεμάμενον ἐκ δρυός, ἐφρουρεῖτο δὲ ὑπὸ δράκοντος ἀύπνου.

### 2. Συναγωγὴ ἡρώων.

Ἐπὶ τοῦτο πεμπόμενος Ἰάσων Ἄργον παρεκάλεσε τὸν Φρίξου κα-

---

25. *Ἰωλκῷ*: πόλις τῆς Θεσσαλίας. —*ᾧ χρωμένῳ*: εἰς τὸν ὁποῖον ζητοῦντα χρησμόν.— *φυλάξασθαι*: νὰ προφυλαχθῇ.— *ἠγνόει*: δὲν ἐνόει.— *χωρίοις*: ἀγροῖς— *ἠρώτα*: τὸν Ἰάσονα.— *λόγιον* : χρησμός.— *ὁ δὲ*: ὁ Ἰάσων.— *ἐπελθόν* : διότι ἐπῆλθεν εἰς τὸν νοῦν του.—*ἄλλως*: ἀσκόπως.— *οὐκ ἐτίμα*: ὁ Πελίας.— *αὐτῷ*: ἀναφέρεται εἰς τό *φέρειν*. – *ἐπὶ τὸ δέρας*: ἵνα λάβῃ τὸ δέρας.—2. *ὑποθεμένης*:

κεῖνος Ἀθηνᾶς ὑποθεμένης πεντηκόντορον ναῦν κατεσκεύασε τὴν προσαγορευθεῖσαν ἀπὸ τοῦ κατασκευάσαντος Ἀργώ· κατὰ δὲ τὴν πρῴραν ἐνήρμοσεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον. Ὡς δὲ ἡ ναῦς κατεσκευάσθη, χρωμένῳ ὁ θεὸς αὐτῷ πλεῖν ἐπέτρεψε συναθροίσαντι τοὺς ἀρίστους τῆς Ἑλλάδος. Οἱ δὲ συναθροισθέντες εἰσὶν οἵδε, Τῖφυς Ἀγνίου ἐκυβέρνα τὴν ναῦν, Ὀρφεὺς Οἰάγρου, Ζήτης καὶ Κάλαϊς Βορέου, Κάστωρ καὶ Πολυδεύκης Διός, Τελαμὼν καὶ Πηλεὺς Αἰακοῦ, Ἡρακλῆς Διός, Θησεὺς Αἰγέως, Ἴδας καὶ Λυγκεὺς Ἀφαρέως, Ἀμφιάραος Οἰκλέους, Καινεὺς Κορώνου, Παλαίμων Ἡφαίστου ἢ Αἰτωλοῦ, Κηφεὺς Ἀλεοῦ, Λαέρτης Ἀρκεσίου, Αὐτόλυκος Ἑρμοῦ, Ἀταλάντη Σχοινέως, Μενοίτιος Ἄκτορος, Ἄκτωρ Ἱππάσου, Ἄδμητος Φέρητος, Ἄκαστος Πελίου, Εὔρυτος Ἑρμοῦ, Μελέαγρος Οἰνέως, Ἀγκαῖος Λυκούργου, Εὔφημος Ποσειδῶνος, Ποίας Θαυμάκου, Βούτης Τελέοντος, Φᾶνος καὶ Στάφυλος Διονύσου, Ἐργῖνος Ποσειδῶνος, Περικλύμενος Νηλέως, Αὐγέας Ἡλίου, Ἴφικλος Θεστίου, Ἄργος Φρίξου, Εὐρύαλος Μηκιστέως, Πηνέλεως Ἱππάλμου, Λήιτος Ἀλέκτορος, Ἴφιτος Ναυβόλου, Ἀσκάλαφος καὶ Ἰάλμενος Ἄρεως, Ἀστέριος Κομήτου, Πολύφημος Ἐλάτου.

3. Ἀπόπλους Ἀργοναυτῶν. Ἄφιξις εἰς Δολίονας.

Οὗτοι ναυαρχοῦντος Ἰάσονος ἀναχθέντες προσίσχουσι Λήμνῳ.

Ἀπὸ Λήμνου δὲ προσίσχουσι Δολίοσιν ὧν ἐβασίλευε Κύζικος. Οὗτος αὐτοὺς ὑπεδέξατο φιλοφρόνως. Νυκτὸς δ' ἀναχθέντες ἐντεῦθεν καὶ περιπεσόντες ἀντιπνοίαις πάλιν τοῖς Δολίοσι προσίσχουσιν. Οἱ δὲ νομίζοντες πελασγικὸν εἶναι στρατὸν (ἔτυχον γὰρ ὑπὸ Πελασγῶν συνεχῶς πολεμούμενοι) μάχην τῆς νυκτὸς συνάπτουσιν, ἀγνοοῦντες πρὸς ἀγνοοῦντας. Κτείναντες δὲ πολλοὺς οἱ Ἀργοναῦται, μεθ' ὧν καὶ Κύζικον, μεθ' ἡμέραν, ὡς ἔγνωσαν, ἀποδυράμενοι τάς τε κόμας ἐκεί-

---

συμβουλευσάσης.—*πεντηκόντορον*: μὲ πεντήκοντα κώπας.—*φωνῆεν*: ἐκπέμπον φωνήν.—*φηγοῦ Δωδωνίδος*: ἐν Δωδώνῃ, πόλει τῆς Ἠπείρου, ὑπῆρχεν ἀρχαιότατον μαντεῖον τοῦ Διός. Ὁ τόπος ἦτο κατάφυτος ἐκ δρυῶν καὶ φηγῶν, εἰς τὰ φύλλα τῶν ὁποίων προσπνέοντες οἱ ἄνεμοι ἀνέπεμπον ἤχους, ἐξ ὧν ἐπορίζοντο τὰς μαντείας. Διὰ τοῦτο τὸ ξύλον τῆς Δωδωνίδος φηγοῦ κοπὲν καλεῖται *φωνῆεν*. .—*χρωμένῳ*: ζητοῦντι χρησμόν.— 3. *ἀναχθέντες*: ἀποπλεύσαντες.— *προσίσχουσι*: προσορμίζονται.— *Δολίοσιν*: Δολίονες εἶνε ἔθνος Θρᾳκικόν.—*ἀντιπνοίαις*: εἰς ἐναντίους ἀνέμους.—

ραντο καὶ τὸν Κύζικον πολυτελῶς ἔθαψαν. Καὶ μετὰ τὴν ταφὴν πλεύσαντες Μυσίᾳ προσίσχουσιν.

### 4. Εἰς τὴν γῆν τῶν Βεβρύκων.

Ἀπὸ δὲ Μυσίας ἀπῆλθον εἰς τὴν Βεβρύκων γῆν, ἧς ἐβασίλευεν Ἄμυκος Ποσειδῶνος παῖς καὶ Βιθυνίδος. Γενναῖος δ᾽ ὢν οὗτος τοὺς προσίσχοντας ξένους ἠνάγκαζε πυκτεύειν καὶ τοῦτον τὸν τρόπον ἀνῄρει. Παραγενόμενος οὖν καὶ τότε ἐπὶ τὴν Ἀργὼ τὸν ἄριστον αὐτῶν εἰς πυγμὴν προὐκαλεῖτο. Πολυδεύκης δὲ ὑποσχόμενος πυκτεύειν πρὸς αὐτὸν πλήξας κατὰ τὸν αὐχένα ἀπέκτεινε. Τῶν δὲ Βεβρύκων ὁρμησάντων πρὸς αὐτόν, ἁρπάσαντες οἱ ἀριστεῖς τὰ ὅπλα, πολλοὺς φεύγοντας φονεύουσιν αὐτῶν.

### 5. Αἱ Ἅρπυιαι.

Ἐντεῦθεν ἀναχθέντες ἀφικνοῦνται εἰς τὴν Θρᾴκης Σαλμυδησσόν, ἔνθα ᾤκει Φινεὺς μάντις, τὰς ὄψεις πεπηρωμένος. Τοῦτον οἱ μὲν τὸν Ἀγήνορος εἶναι λέγουσιν, οἱ δὲ Ποσειδῶνος υἱόν· καὶ πηρωθῆναί φασιν αὐτὸν ὑπὸ θεῶν, ὅτι προὔλεγε τοῖς ἀνθρώποις τὰ μέλλοντα. Ἔπεμψαν δὲ αὐτῷ καὶ τὰς Ἁρπυίας οἱ θεοί· πτερωταὶ δὲ ἦσαν αὗται, καὶ ἐπειδὴ τῷ Φινεῖ παρετίθετο τράπεζα, ἐξ οὐρανοῦ καθιπτάμεναι τὰ μὲν πλείονα ἀνήρπαζον, ὀλίγα δὲ ὅσα ὀσμῆς ἀνάπλεα κατέλειπον, ὥστε μὴ δύνασθαι προσενέγκασθαι. Βουλομένοις δὲ τοῖς Ἀργοναύταις τὰ περὶ τοῦ πλοῦ μαθεῖν ὑποθήσεσθαι τὸν πλοῦν ἔφη, τῶν Ἁρπυιῶν αὐτὸν ἐὰν ἀπαλλάξωσιν. Οἱ δὲ παρέθεσαν αὐτῷ τράπεζαν ἐδεσμάτων, Ἅρπυιαι δὲ ἐξαίφνης σὺν βοῇ καταπτᾶσαι τὴν τροφὴν ἥρπαζον. Θεασάμενοι δὲ οἱ Βορέου παῖδες Ζήτης καὶ Κάλαϊς, ὄντες πτερωτοί, σπασάμενοι τὰ ξίφη δι᾽ ἀέρος ἐδίωκον μέχρι Στροφάδων νήσων, κἀκεῖ δοῦσαι ὅρκον τὸν Φινέα μηκέτι ἀδικήσειν οὐδὲν ἔπαθον.

---

*ἀποδυράμενοι* : θρηνήσαντες· διότι ἀγνοοῦντες ἐφόνευσαν τὸν ξενίσαντα αὐτούς.— *ἐκείραντο* : πρὸς ἐκδήλωσιν πένθους.

4. *Βεβρύκων*: λαὸς τῆς Βιθυνίας ἐπὶ τοῦ Εὐξείνου πόντου.— *ὑποσχόμενος* : ἀναλαβών.—5. *τὰς ὄψεις πεπηρωμένος* : βεβλαμμένος, τυφλός.— *ἐπειδή* : ὅτε.— *ὀσμῆς* : δυσωδίας.— *προσενέγκασθαι* : νὰ λάβῃ (ὁ Φινεύς), νὰ φάγῃ.— *ὑποθήσεσθαι τὸν πλοῦν* : ὅτι θὰ δώσῃ συμβουλὰς περὶ τοῦ πλοῦ.— *ἔφη* : ὁ Φινεύς.—

## 6. Συμπληγάδες πέτραι.

Ἀπαλλαγεὶς δὲ τῶν Ἁρπυιῶν Φινεὺς ἐμήνυσε τὸν πλοῦν τοῖς Ἀργοναύταις καὶ περὶ τῶν συμπληγάδων ὑπέθετο πετρῶν τῶν κατὰ θάλασσαν. Ἦσαν δὲ ὑπερμεγέθεις αὗται συγκρουόμεναι δὲ ἀλλήλαις ὑπὸ τῆς τῶν πνευμάτων βίας τὸν διὰ θαλάσσης πόρον ἀπέκλειον. Ἐφέρετο δὲ πολλὴ μὲν ὑπὲρ αὐτῶν ὁμίχλη, πολὺς δὲ πάταγος, ἦν δὲ ἀδύνατον καὶ τοῖς πετεινοῖς δι' αὐτῶν ἐλθεῖν. Εἶπεν οὖν αὐτοῖς ἀφεῖναι πελειάδα διὰ τῶν πετρῶν, καὶ ταύτην ἐὰν μὲν ἴδωσι σωθεῖσαν, διαπλεῖν καταφρονοῦντας, ἐὰν δὲ ἀπολομένην, μὴ πλεῖν βιάζεσθαι. Ταῦτα ἀνήγοντο ἀκούσαντες, καὶ ὡς πλησίον ἦσαν τῶν πετρῶν, ἀφιᾶσιν ἐκ πρῴρας πελειάδα· τῆς δὲ ἱπταμένης τὰ ἄκρα τῆς οὐρᾶς ἡ σύμπωσις τῶν πετρῶν ἀπεθέρισεν. Ἀναχωρούσας οὖν ἐπιτηρήσαντες τὰς πέτρας μετ' εἰρεσίας ἐντόνου συλλαβομένης Ἥρας διῆλθον, τὰ ἄκρα τῶν ἀφλάστων τῆς νηὸς περικοπείσης. Αἱ μὲν οὖν συμπληγάδες ἔκτοτε ἔστησαν· χρεὼν γὰρ ἦν αὐταῖς νεὼς περαιωθείσης στῆναι παντελῶς.

## 7. Ἐν Κολχίδι.

Οἱ δὲ Ἀργοναῦται παραπλεύσαντες εἶτα Θερμώδοντα καὶ Καύκασον ἐπὶ Φᾶσιν ποταμὸν ἦλθον· οὗτος τῆς Κολχικῆς ἐστι γῆς. Καθορμισθείσης δὲ τῆς νεώς, ἧκε πρὸς Αἰήτην Ἰάσων καί, τὰ ἐπιταγέντα ὑπὸ Πελίου λέγων, παρεκάλει δοῦναι τὸ δέρας αὐτῷ· ὁ δὲ δώσειν ὑπέσχετο ἐὰν τοὺς χαλκόποδας ταύρους μόνος καταζεύξῃ. Ἦσαν δὲ ἄγριοι παρ' αὐτῷ οὗτοι ταῦροι δύο, μεγέθει διαφέροντες, δῶρον Ἡφαίστου, οἳ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δὲ ἐκ στομάτων ἐφύσων. Τούτους αὐτῷ ζεύξαντι ἐπέτασσε σπείρειν δράκοντος ὀδόντας. Ἀποροῦντος δὲ τοῦ Ἰάσονος πῶς ἂν δύναιτο τοὺς ταύρους καταζεῦξαι, Μήδεια θυγάτηρ Αἰήτου καὶ Ἰδυίας τῆς Ὠκεανοῦ, φαρμακίς, δεδοικυῖα μὴ πρὸς τῶν ταύρων διαφθαρῇ κρύφα τοῦ πατρὸς συνεργήσειν αὐτῷ πρὸς τὴν κατάζευξιν τῶν ταύρων ἐπηγγείλατο καὶ τὸ δέρας ἐγχειριεῖν, ἐὰν ὀμόσῃ

---

*σπασάμενοι* : ἀνελκύσαντες.—*δοῦσαι* : ἅρπυιαι.—6. *πνευμάτων* : ἀνέμων.—*τὸν πόρον* : τὸν διάπλουν, τὴν διάβασιν.—*ὑπὲρ αὐτῶν* : ἄνωθεν τῶν πετρῶν.—*πελειάδα* : περιστεράν.—7. *διαφθαρῇ* : ὁ Ἰάσων.—*ἐπηγγείλατο* : ὑπεσχέθη.—*ἀναδύεσθαι* : νὰ φυτρώνωσιν.—*ἄποθεν* : μακρόθεν.—*ἐμάστευε* : ἐζήτει, προσεπάθει

αὐτὴν ἕξειν γυναῖκα καὶ εἰς Ἑλλάδα σύμπλουν ἀγάγηται. Ὀμόσαντος δὲ Ἰάσονος φάρμακον δίδωσιν, ᾧ καταζευγνύναι μέλλοντα τοὺς ταύρους ἐκέλευσε χρῖσαι τήν τε ἀσπίδα καὶ τὸ δόρυ καὶ τὸ σῶμα· τούτῳ γὰρ χρισθέντα ἔφη πρὸς μίαν ἡμέραν μήτε ἂν ὑπὸ πυρὸς ἀδικηθήσεσθαι μήτε ὑπὸ σιδήρου. Ἐδήλωσε δὲ αὐτῷ σπειρομένων τῶν ὀδόντων ἐκ γῆς ἄνδρας μέλλειν ἀναδύεσθαι ἐπ' αὐτὸν καθωπλισμένους, οὓς ἔλεγεν ἐπειδὰν ἀθρόους θεάσηται, βάλλειν εἰς μέσον λίθους ἄποθεν, ὅταν δὲ ὑπὲρ τούτου μάχωνται πρὸς ἀλλήλους, τότε κτείνειν αὐτούς. Ἰάσων δὲ τοῦτο ἀκούσας καὶ χρισάμενος τῷ φαρμάκῳ παραγενόμενος εἰς τὸ τοῦ νεὼ ἄλσος, ἐμάστευε τοὺς ταύρους καὶ σὺν πολλῷ πυρὶ ὁρμήσαντας αὐτοὺς κατέζευξε. Σπείροντος δὲ αὐτοῦ τοὺς ὀδόντας ἀνέτελλον ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι· ὁ δὲ ὅπου πλείονας ἑώρα, βάλλων ἀφανεῖς λίθους πρὸς αὐτοὺς μαχομένους πρὸς ἀλλήλους προσιὼν ἀνῄρει. Καὶ κατεζευγμένων τῶν ταύρων οὐκ ἐδίδου τὸ δέρας Αἰήτης, ἐβούλετο δὲ τήν τε Ἀργὼ καταφλέξαι καὶ κτεῖναι τοὺς ἐμπλέοντας. Φθάσασα δὲ Μήδεια τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἤγαγε καὶ τὸν φυλάσσοντα δράκοντα κατακοιμίσασα τοῖς φαρμάκοις μετὰ Ἰάσονος ἔχουσα τὸ δέρας ἐπὶ τὴν Ἀργὼ παρεγένετο. Οἱ δὲ νυκτὸς μετὰ τούτων ἀνήχθησαν.

### 8. Ἐπάνοδος Ἀργοναυτῶν. Φόνος Πελίου.

Αἰήτης δὲ ἐπιγνοὺς τὰ τῇ Μηδείᾳ τετολμημένα πολλοὺς τῶν Κόλχων ἐπὶ τὴν ζήτησιν τῆς Ἀργοῦς ἐξέπεμψεν ἀπειλήσας, εἰ μὴ Μήδειαν ἄξουσιν, αὐτοὺς πείσεσθαι τὰ τῆς ἐκείνης. Οἱ δὲ ἄλλος ἀλλαχοῦ ζήτησιν ἐποιοῦντο.

Ἀργοναῦται δὲ πολλοῖς πλάνοις καὶ χειμῶσι περιπεσόντες εἰς Ἰωλκὸν ἦλθον, τὸν πάντα πλοῦν ἐν τέσσαρσι μησὶ τελειώσαντες.

Πελίας δὲ ἀπογνοὺς τὴν ὑποστροφὴν τῶν Ἀργοναυτῶν τὸν Αἴσονα κτείνειν ἤθελεν· ὁ δὲ αἰτησάμενος ἑαυτὸν ἀνελεῖν θυσίαν ἐπιτελῶν

---

νὰ συλλάβῃ—*φθάσασα* : προλαβοῦσα.—8. *τῇ Μηδείᾳ* : ὑπὸ τῆς Μηδείας.—*αὐτοὺς πείσεσθαι* : ὅτι αὐτοὶ θὰ πάθωσιν.—*ἀπογνοὺς τὴν ὑποστροφὴν* : ἀποβαλὼν τὴν ἐλπίδα ὅτι θὰ ἐπιστρέψωσιν.—*ἑαυτὸν ἀνελεῖν* : νὰ αὐτοκτονήσῃ.—*σπασάμενος* : ῥοφήσας.—*ἐπαρασαμένη* : καταρασθεῖσα.—*μετελθεῖν* : νὰ ἐκδικηθῇ.—*καιρὸν ἐξεδέχετο* : εὐκαιρίαν ἀνέμενε.—*ὅπως δίκας ὑπόσχῃ* : πῶς νὰ δώσῃ δίκην,

ἀδεῶς τὸ τοῦ ταύρου αἷμα σπασάμενος ἀπέθανεν. Ἡ δὲ Ἰάσονος μήτηρ ἐπαρασαμένη Πελίᾳ νήπιον ἀπολιποῦσα παῖδα Πρόμαχον ἑαυτὴν ἀνήρτησε· Πελίας δὲ καὶ τὸν καταλειφθέντα παῖδα ἀπέκτεινεν αὐτῆς. Ὁ δὲ Ἰάσων κατελθὼν τὸ μὲν δέρας ἔδωκε, περὶ ὧν δὲ ἠδικήθη μετελθεῖν ἐθέλων καιρὸν ἐξεδέχετο. Καὶ τότε μὲν εἰς Ἰσθμὸν μετὰ τῶν ἀριστέων πλεύσας ἀνέθηκε τὴν ναῦν Ποσειδῶνι, αὖθις δὲ Μήδειαν παρακαλεῖ ζητεῖν ὅπως Πελίας αὐτῷ δίκας ὑπόσχῃ. Ἡ δὲ εἰς τὰ βασίλεια τοῦ Πελίου παρελθοῦσα πείθει τὰς θυγατέρας αὐτοῦ τὸν πατέρα κρεουργῆσαι καὶ καθεψῆσαι, διὰ φαρμάκων αὐτὸν ἐπαγγελλομένη ποιήσειν νέον· καὶ τοῦ πιστεῦσαι χάριν κριὸν μελείσασα καὶ καθεψήσασα ἐποίησεν ἄρνα. Αἱ δὲ πιστεύσασαι τὸν πατέρα κρεουργοῦσι καὶ καθέψουσιν. Ἄκαστος δὲ μετὰ τῶν τὴν Ἰωλκὸν οἰκούντων τὸν πατέρα θάπτει, τὸν δὲ Ἰάσονα μετὰ τῆς Μηδείας τῆς Ἰωλκοῦ ἐκβάλλει.

## 9. Μήδεια ἐν Κορίνθῳ.

Οἱ δὲ ἧκον εἰς Κόρινθον καὶ δέκα μὲν ἔτη διετέλουν εὐτυχοῦντες, αὖθις δὲ τοῦ τῆς Κορίνθου βασιλέως Κρέοντος τὴν θυγατέρα Γλαύκην Ἰάσονι ἐγγυῶντος, Μήδεια τὴν Ἰάσονος ἀχαριστίαν μεμψαμένη πολλάκις τῇ μὲν νύμφῃ πέπλον μεμαγευμένον φαρμάκῳ ἔπεμψεν, ὃν ἀμφιεσαμένη μετὰ τοῦ βοηθοῦντος πατρὸς πυρὶ λάβρῳ καταφλέγεται, τοὺς δὲ παῖδας, οὓς εἶχεν ἐξ Ἰάσονος, Μέρμερον καὶ Φέρητα, ἀπέκτεινε καὶ λαβοῦσα παρ' Ἡλίου ἅρμα πτηνῶν δρακόντων ἐπὶ τούτου φεύγουσα ἦλθεν εἰς Ἀθήνας.

## 26. Κάδμος.

Ἀγήνωρ θυγατέρα μὲν Εὐρώπην, παῖδας δὲ Κάδμον καὶ Φοίνικα καὶ Κίλικα εἶχε. Ταύτην Ζεὺς διὰ τῆς θαλάσσης ἐκόμισεν εἰς Κρήτην. Ἀφανοῦς δὲ Εὐρώπης γενομένης ὁ πατὴρ αὐτῆς Ἀγήνωρ ἐπὶ ζήτησιν ἐξέπεμψε τοὺς παῖδας εἰπὼν μὴ πρότερον ἀναστρέφειν, πρὶν ἂν ἐξεύρωσιν Εὐρώπην· Κάδμος τοίνυν ἦλθεν εἰς Δελφοὺς περὶ τῆς Εὐρώπης πυνθανόμενος. Ὁ δὲ θεὸς εἶπε περὶ μὲν Εὐρώπης μὴ πολυπραγμονεῖν, χρῆσθαι δὲ καθοδηγῷ βοῒ καὶ πόλιν κτίζειν, ἔνθα ἂν αὐτὴ πέσῃ καμοῦσα.

---

νὰ τιμωρηθῇ.—*καθεψῆσαι*: νά τον βράσωσι. —*τοῦ πιστ. χάριν*: ἵνα πιστεύσωσι.—*μελεῖσασα* : κρεουργήσασα.—9. *λάβρῳ* : σφοδρῷ.—26. *μὴ ἀναστρέφειν* : νὰ μὴ ἐπιστρέψωσιν.—*μὴ πολυπραγμονεῖν*: νὰ μὴ πολυπραγμονῇ, νὰ μὴ ἀσχολῆται.—

Τοιοῦτον λαβὼν χρησμὸν διὰ Φωκέων ἐπορεύετο, εἶτα βοΐ ἀτυχῶν ἐν τοῖς Πελάγοντος βουκολίοις ταύτῃ κατόπισθεν εἵπετο. Ἡ δὲ διεξιοῦσα Βοιωτίαν ἐκλίθη, πόλις ἔνθα νῦν εἰσι Θῆβαι. Βουλόμενος δὲ Ἀθηνᾷ καταθῦσαι τὴν βοῦν πέμπει τινὰ τῶν μεθ' ἑαυτοῦ ληψόμενον ἀπὸ τῆς Ἀρείας κρήνης ὕδωρ· φρουρῶν δὲ τὴν κρήνην δράκων, ὃν ἐξ Ἄρεως εἶπόν τινες γεγονέναι, τοὺς πλείονας τῶν πεμφθέντων διέφθειρεν. Ἀγανακτήσας δὲ Κάδμος κτείνει τὸν δράκοντα καὶ τῆς Ἀθηνᾶς ὑποθεμένης τοὺς ὀδόντας αὐτοῦ σπείρει. Τούτων δὲ σπαρέντων ἀνέτειλαν ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι, οὓς ἐκάλεσαν Σπαρτούς. Οὗτοι δὲ ἀπέκτειναν ἀλλήλους, οἱ μέν φασιν εἰς ἔριν ἀκούσιον ἐλθόντες, οἱ δὲ ἀλλήλους ἀγνοοῦντες. Φερεκύδης δέ φησιν ὅτι Κάδμος ἰδὼν ἐκ γῆς ἀναφυομένους ἄνδρας ἐνόπλους ἐπ' αὐτοὺς ἔβαλε λίθους, οἱ δὲ ὑπ' ἀλλήλων νομίζοντες βάλλεσθαι εἰς μάχην κατέστησαν. Περιεσώθησαν δὲ πέντε, Ἐχίων, Οὐδαῖος, Χθονίος, Ὑπερήνωρ, Πέλωρ· Κάδμος δὲ ἀνθ' ὧν ἔκτεινεν Ἄρεως ἴδιον ἐνιαυτὸν ἐθήτευσεν Ἄρει. Ἦν δὲ ὁ ἐνιαυτὸς τότε ὀκτὼ ἔτη.

Μετὰ δὲ τὴν θητείαν Ἀθηνᾶ αὐτῷ βασιλείαν κατεσκεύασε, Ζεὺς δὲ ἔδωκεν αὐτῷ γυναῖκα Ἁρμονίαν, Ἀφροδίτης καὶ Ἄρεως θυγατέρα. Καὶ πάντες θεοὶ καταλιπόντες τὸν οὐρανὸν ἐν τῇ Καδμείᾳ τὸν γάμον εὐωχούμενοι καθύμνησαν.

ΔΩΡΕΑ
ΕΚ ΤΗΣ ΒΙΒΛΙΟΘΗΚΗΣ
ΣΤΕΦΑΝΟΥ Κ. ΑΝΑΓΝΩΣΤΑΚΗ

---

*καμοῦσα*: ἀποκαμοῦσα.– *διεξιοῦσα Β...*: διερχομένη διὰ τῆς Βοιωτίας.—*ἐκλίθη*: ἐπλάγιασεν, ἔπεσεν.—*οἱ δὲ νομίζοντες*: οἱ Σπαρτοὶ νομίζοντε ὅτι οἱ λίθοι ἐβάλλοντο ὑπ' ἀλλήλων, ὅτι δηλ. ὁ εἷς ἐλιθοβόλει τὸν ἄλλον.- *ἴδιον*: δηλ. τὸν δράκοντα.

Σελ.

2ον. **Γυναικῶν ἀρεταί.**

1. Τελέσιλλα ........................ 38
2. Χελωνὶς ........................ 38
3. Θεανὼ........................ 39
4. Φωκίδες........................ 39
5. Ἀκαρνανίδες ........................ 39

3ον. **Τά παλαιὰ τῶν Ἀθηναίων ἐπιτηδεύματα** 40

4ον. **Τὰ παλαιὰ τῶν Λακεδαιμονίων ἐπιτηδεύματα.**

1. Παράδειγμα Λυκούργου... 42
2. Διανομὴ τῆς γῆς............ 43
3. Συσσίτια........................ 43
4. Παίδευσις Λακεδαιμονίων 44

5ον. **Ζῴων ἰδιότητες.**

1. Μύες ........................ 46
2. Μύρμηκες ........................ 46
3. Λέων ........................ 46
4. Δελφὶς........................ 47
5. Ἄρκτος ........................ 47
6. Σηπία ........................ 47
7. Ἀλώπηξ........................ 48
8. Χελιδὼν........................ 48
9. Μέλισσαι ........................ 48

6ον. **Διάφορα περὶ ζῴων διηγήματα**

1. Πίστις κυνὸς ........................ 49
2. Ἕτερον........................ 50
3. Ἕτερον........................ 50
4. Εὐφυΐα Ἐλεφάντων........ 51
5. Εὐφυΐα Μυρμήκων.......... 51
6. Συναίσθησις ἵππου. Βουκεφάλας ........................ 52
7. Οἰκειότης Παρδάλεως..... 52

Σελ.

8. Εὐγνωμοσύνη ὄφεως ... 102
9. Εὐγνωμοσύνη ἀετοῦ ...

7ον. **Διάφορα διηγήματα.**

1. Υἱϊκὴ εὐσέβεια.......... 53
2. Ἕτερον ........................ 54
3. Σεβασμὸς πρὸς τοὺς γονεῖς........................ 54
4. Ἀγάπη πρὸς τὰ ζῷ...
5. Τιμωρία Μυτιληναί... 105
6. Φιλεργία Μενεδίμου καὶ Ἀσκληπιάδου ..... 106
7. Γενναιότης Ξενοφῶντ...
8. Ἐλευθεριότης Κίμω...
9. Μικρολογία..........
10. Μετριότης Πλάτων...
11. Κλεινίας..........
12. Περὶ ἀλαζονείας.....
13. Περὶ διαβολῆς.........
14. Μεγαλοψυχία Σπαρτιατῶν ..........
15. Σιμωνίδης καὶ Παυσανίας..........
16. Φιλοπατρία Κόδρου...
17. Ἀδηφαγία..........
18. Ἀδολεσχία γυναικὸς
19. Ἡρόδοτος..........
20. Περὶ φιλίας, Φιντίας Δάμων ..........
21. Ἄλλο. Εὐδαμίδας, ... ρεταῖος. Χαρίξενος .. 6
22. Ἄλλο. Εὐθύδικος κ... Δάμων.......... 6
23. Ἄλλο. Ἀλέξανδρος, Ἡ... φαιστίων.......... 6
24. Ἄλλο. Δημήτριος. Ἀ... τίφιλος.......... 6
25. Ὁ βασιλεὺς τῶν Περσῶ... περὶ γεωργίας.......... 7


Κολ. Κισάμου
Κολυμπάρι
ΧΑΝΙΑ
Προφ. Ηλίας
Πλατανιάς
Λ. Σούδας
Σούδας
Λιμ. Δρέπανου
Κ. Αλμυρού
Φαλάσαρνα
Καστέλλι
Πολυρρηνία
ΕΠ. ΚΙΣΣΑΜΟΥ
ΕΠ. ΚΥΔΩΝΙΑΣ
Αλιακάνου
Λάκκοι
Θέρισσα
όρ. Μαλαξα
ΕΠ. ΑΠΟΚΟΡΩΝΟΥ
Αρμένοι
Βάμος
Γεωργιούπολις
ΕΝΝΙΑ ΧΩΡΙΑ
Κάνταρος
ΛΕΥΚΑ ΟΡΗ
Ν. ΡΕΘΥΜΝΗΣ
Καμπανός
ΕΠ. ΣΕΛΙΝΟΥ
ΕΛΥΡΟΣ
ΚΑΝΤΑΡΟΣ
ΕΠ. ΣΦΑΚΙΩΝ
Χώρα Σφακίων
Σκλαβοπούλα
Βουτάς
Παλαιόχωρα
Λαφονήσι

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΧΑΝΙΩΝ